Oct. 31. » τοῦ παντὸς δημιουργοί; » « Τούναντίον μὲν οὖν » οἱ ἅγιοι εἶπον « λοιμοὶ [4] καὶ φθορεῖς καὶ ἀλιτήριοι » δαίμονές εἰσι. » Τούτοις ὁ ἄρχων ἐξαπορηθεὶς τὸν διὰ ξίφους [5] καταψηφίζεται θάνατον. Καὶ τμηθέντες οἱ γενναῖοι τὰς κεφαλὰς πρὸς τὰ βραβεῖα διέβησαν τὰ οὐράνια.

4. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τῶν εὐκτηρίων τοῦ πατριαρχείου.

— [4] λοιμὴ S. — [5] τῶν διὰ ξίφους αὐτῶν Sa.

Oct. 31. βληθεὶς τ. — Αἱ ἅγιαι δώδεκα κόραι ἐν μέσῳ στοᾶς κρεμασθεῖσαι τ. — Σέλευκος καὶ Στρατονίκη οἱ σύζυγοι ξ. τ. καὶ μύρον ἀεννάως βλύζουσιν. — **Mv** : Στάχυος... καὶ Ναρκίσσου [32]. — 2. — Ἰακώβου ἐπισκόπου Μυγδονίας, ἑνὸς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ. — Διήγησις Θεοδωρήτου. — **Mb** : 2. — Στάχυος ... καὶ Ναρκίσσου [32]. — Διήγησις. — Στεφάνου κτλ. (Oct. 29[3], [2]). — Παῖς. — Δώδεκα κόραι. — Σέλευκος καὶ Στρατονίκη. — **Mr** : Τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα, Στάχυος, Ἀπελλοῦ, Ἀμπλία, Οὐρβανοῦ, Ναρκίσσου καὶ Ἀριστοβούλου (Oct. 30[1]). — 2.

— [32] Ναρκίσου Mv, Mb.

ΜΗΝ ΝΟΕΜΒΡΙΟΣ f. 69

ἡμέρας ἔχει λ', ἡ ἡμέρα ἔχει ὥρας ι' καὶ ἡ νὺξ ὥρας ιδ'.

ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ [1].

1. Μνήμη τῶν ἁγίων θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ. Οὗτοι εἶλκον τὸ γένος ἐκ τῆς Ἀσίας, πατρὸς μὲν ὑπάρχοντος ἕλληνος, μητρὸς δὲ χριστιανῆς Θεοδότης προσαγορευομένης, ἣ [2] πᾶσαν ἰδέαν τελείας ἀρετῆς αὐτοὺς ἐξεπαίδευσε· πάσης δὲ ἐπιστήμης ἐν πείρᾳ γενόμενοι, ταῖς λοιπαῖς χαίρειν εἰπόντες, τὴν ἰατρείαν τῶν ψυχῶν καὶ τῶν σωμάτων ἠσπάσαντο, θεραπεύοντες πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν καὶ [3] οὐκ ἀνθρώποις μόνον ἐπικουροῦντες ἀλλὰ καὶ κτήνεσι. Διὸ οὐδὲ παρά τινός τι λαμβάνειν ἠνείχοντο πώποτε· οὕτω δὲ καλῶς τὸν ἑαυτῶν βίον διανύσαντες [4] καὶ εὐσεβῶς ἐν εἰρήνῃ τελειωθέντες, κατετέθησαν ἐν τόπῳ καλουμένῳ Φερεμᾶν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τοῖς Δαρείου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων γυναικῶν Κυριαίνης καὶ Ἰουλιανῆς. Αὗται ἤθλησαν ἐπὶ Μαξιμιανοῦ βασιλέως. Ὑπῆρχον οὖν ἡ μὲν Κυρίαινα ἐκ Ταρσοῦ τῆς Κιλίκων ἐπαρχίας [1], ἡ δὲ Ἰουλιανὴ ἐκ πόλεως Ῥωσῶν. Συλληφθεῖσαι δὲ ὑπὸ Μαρκιανοῦ ἡγεμόνος καὶ ἀναγκασθεῖσαι θῦσαι τοῖς εἰδώλοις, οὐκ ἠρνήσαντο τὸν Χριστόν· ὅθεν ἡ Κυρίαινα ξυρᾶται τὴν κεφαλὴν σὺν ταῖς [2] ὀφρύσι, καὶ χάρτην ὕβρεων γέμοντα περιτίθεται τῷ μετώπῳ· ὄνῳ τε ἐπιβιβασθεῖσα μετὰ ναρθήκων ὑπὸ παίδων τῶν ἐν διδασκαλείοις τύπτεται καὶ ὑπὸ μίμων καὶ ἀτάκτων στρατιωτῶν τὴν πόλιν Ταρσὸν τετράκις γυμνὴ περιάγεται· εὐξαμένη δὲ μὴ ὁρᾶσθαι γυμνή, ὑπὸ θείας χάριτος ἐσκεπάσθη· καὶ ἀπαχθεῖσα ἐν τῇ πόλει Ῥωσῶν, μετὰ τῆς ἁγίας Ἰουλιανῆς τῷ πυρὶ παραδίδονται· καὶ οὕτως ἐτελειώθη [3] αὐτῶν ἡ μαρτυρία.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων ἱερομαρτύρων Ἰωάννου ἐπισκόπου καὶ Ἰακώβου πρε-

1. — [1] *om.* Sa. — [2] ἥτις Sa. — [3] *om.* Sa. — [4] ἀνύσαντες Sa.
2. — [1] Κιλικίας Sa. — [2] τοῖς S, Sa. — [3] πληροῦται Sa.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 1. 2 (Κυριαίνης). — 3. 4. 5. — **P** : 1. 2. 3 : Ἰωάννου ἐπισκόπου καὶ <Ἰακώβου> πρεσβυτέρου τοῦ ἐπικαλουμένου Ζηλωτοῦ τὸ ἐπίκλην, υἱὸς Μαρίας, ἐπὶ Σαβωρίου βασιλέως ἐν Περσίδι. — 4 (... Σάββα, Σαβίνου κτλ.). — 5. — **Da** : 1. 2. 3. 4. — **F** : 1. 2. 3. 4. 5 : Δομνίκας καὶ Δόμνας καὶ Κυριακοῦ μάρτυρος. — **Fa** : 1 (= S). 2 : Κυριαίνης καὶ Ἰουλιανῆς. Αἵτινες ἤθλησαν ἐπὶ Μαξιμιανοῦ βασιλέως. Ὑπῆρχον οὖν ἡ μὲν Κυρίαινα [1] ἐκ Ταρσοῦ τῆς Κιλίκων ἐπαρχίας, ἡ δὲ Ἰουλιανὴ ἐκ πόλεως Ῥωσῶν [2]. Συλληφθεῖσαι [3] δὲ ὑπὸ Μαρκιανοῦ [4] ἡγεμόνος καὶ ἀναγκασθεῖσαι [5] οὐκ ἠρνήσαντο [6] τὸν Χριστόν. Ὅθεν ἡ Κυρίαινα ξυρᾶται τὴν κεφαλὴν σὺν ταῖς ὀφρύσι καὶ γυμνὴ ὑπὸ ἀτάκτων στρατιωτῶν τὴν πόλιν Ταρσὸν τετράκις περιάγεται· ἀπαχθεῖσά τε ἐν τῇ πόλει Ῥωσῶν μετὰ τῆς ἁγίας Ἰουλιανῆς τῷ πυρὶ παραδίδοται· καὶ οὕτως πληροῦται αὐτῶν ἡ μαρτυρία. — 3 : Ἰακώβου πρεσβυτέρου καὶ Ἰωάννου ἐπισκόπου. — 4 : Καισαρίου, Δασίου, Σαβινιανοῦ, Ἀγρίππα, Ἀδριανοῦ καὶ Θωμᾶ τοῦ νηπίου, τῶν ἐν Δαμασκῷ διαφόροις βασάνοις περιπεσόντων κἀκεῖσε τελειωθέντων. — 5 : Δομνίνας [7] καὶ Δόμνας καὶ Κυριακοῦ μαρτύρων. — **B** : 1. 2. 3. — **Ba** : 1 (= S). 2 (= Fa). 3. — **T** : 1. — **L** : 1. 2. 3. 5. — **O** : 1. 2. 3. 4. — **C** : 1. 2. 3. 4 (... Σάβα, Σαβιανοῦ). — **Cb** : 1. 2. 3. — **Cc** : 1. 2. 3. 4 (... Σαβιανοῦ). — **Cd** : 1 : Κοσμᾶ καὶ Δαμιανοῦ τῶν υἱῶν Θεοδότης. Οὗτοι οἱ ἅγιοι ἀνάργυροι Κοσμᾶς καὶ Δαμιανὸς ὑπῆρχον υἱοὶ γυναικὸς ὀνόματι Θεοδότης, διδαχθέντες παρὰ μὲν αὐτῆς τὰ ἱερὰ γράμματα, παρὰ δὲ τοῦ ἁγίου Πνεύματος τὴν ἰατρικὴν ἐπιστήμην. Οἵτινες ἰάτρευον οὐ μόνον τοὺς ἀνθρώπους ἀλλὰ καὶ τὰ κτήνη· θεραπεύοντες δὲ οὐδὲν παρά τινος ἐλάμβανον. Ἐθεράπευσαν δὲ καὶ γυναῖκά τινα ὀνόματι Παλλαδίαν, ἥτις ὑγιάνασα καὶ κρύφα προσδραμοῦσα τῷ ἁγίῳ Δαμιανῷ, προσφέρει ᾠὰ τρία καὶ ὁρκίζει κατὰ τοῦ ὀνόματος τοῦ Θεοῦ λαβεῖν αὐτά. Ἀκούσας δὲ ὁ ἅγιος Κοσμᾶς περὶ αὐτῶν, παρήγγειλε μὴ τεθῆναι τὸ λείψανον Δαμιανοῦ μετ' αὐτοῦ ἐν τῇ τελευτῇ. Ἐκοιμήθη δὲ πρῶτον ὁ ἅγιος Δαμιανός· ἐπιζήσας δὲ ὁ ἅγιος Κοσμᾶς καὶ πολλὰ θαύματα ποιήσας, ἐκοιμήθη καὶ αὐτός. Καὶ προκειμένου τοῦ λειψάνου καὶ τοῦ λαοῦ ἀθυμοῦντος καὶ διαλογιζομένου, ποῦ ἄρα θάψουσιν αὐτόν, ἐξαίφνης δραμοῦσα κάμηλος, ἥτις κεκλασμένη ὑπῆρχε καὶ ἰάθη παρ' αὐτῶν, ἐβόησεν ἀνθρωπίνῃ φωνῇ τοῦ τεθῆναι τὸ λείψανον αὐτοῦ ἅμα τῷ ἁγίῳ Δαμιανῷ, λέγουσα ὅτι ὁ

[1] Κυρίενα Fa. — [2] Ῥοσῶν *et deinceps* Fa. — [3] συλληφθὴς Fa. — [4] Μαριανοῦ Fa. — [5] ἀναγκασθεὶς Fa. — [6] ἀρνήσατω Fa. — [7] Δομνήνας Fa.

Νοε. 1. σβυτέρου τοῦ λεγομένου Ζηλωτοῦ. Οὗτοι ὑπῆρχον ἐπὶ Σαβωρίου βασιλέως Περσῶν, διδάσκοντες τὸν λόγον τῆς πίστεως καὶ ἀλεῖπται γενόμενοι πολλῶν πρὸς τὴν εὐσέβειαν. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἐθεάσατο καθ' ὕπνους ὁ ἐπίσκοπος Ἰωάννης ἄνδρα τινὰ κατέχοντα σπάθην, ἧς ἐν τῷ ἄκρῳ ἀπηώρητο στέφανος· ὅστις ἀνὴρ δραμὼν ἐπέθηκεν ἐν τῇ κεφαλῇ
f. 69v. αὐτοῦ τὸ κατεχόμενον εἰπών· | « Λάβε, ὦ ἐπίσκοπε, » στέφανον οὗ ἐπεθύμησας. » Καὶ μετ' ὀλίγας ἡμέρας κρατηθεὶς σὺν τῷ πρεσβυτέρῳ Ἰακώβῳ παρὰ Σαβωρίου καὶ ποικίλαις θλίψεσι[1] καὶ βασάνοις προσομιλήσαντες, ὕστερον ὑπὸ ξίφους ἐτελειώθησαν.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Καισαρείου[1], Δασίου, Σάβα, Σαβινιανοῦ, Ἀγρίππα, Ἀδριανοῦ καὶ Θωμᾶ τοῦ νηπίου καὶ τῆς συνοδίας αὐτῶν, τῶν ἐν Δαμασκῷ διαφόροις βασάνοις δοκιμασθέντων κἀκεῖσε τελειωθέντων. Ὧν ἡ σύναξις τελεῖται ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μάρτυρος Θεοδώρου τῷ ὄντι πλησίον τοῦ[2] Τετραπύλου.

5. Καὶ ἄθλησις τῶν ἁγίων[1] γυναικῶν Δόμνας καὶ Δομνίνας καὶ Κυριακῆς.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β'.

Νοε. 2. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀκινδύνου, Πηγασίου, Ἀνεμποδίστου, Ἀφθονίου καὶ Ἐλπιδιφόρου[1]. Τούτων ὁ μὲν Ἀκίνδυνος, Πηγάσιος καὶ Ἀνεμπόδιστος ὑπάρχοντες ἐν Περσίδι, βασιλεύοντος μὲν τῆς Περσῶν[2] Σαβωρίου, τῆς Ῥωμαίων δὲ[3] Κωνσταντίνου τοῦ μεγάλου, ἐν ἰδιάζοντι καθεζόμενοι τόπῳ, ἐδίδασκον τὸν λόγον τοῦ Θεοῦ· ὅθεν ὑπὸ Σαβωρίου κρατηθέντες, τύπτονται σφοδρῶς καὶ τὸν βασιλέα βλασφημοῦντα τὸν Χριστὸν ἄλαλον ποιοῦσι διὰ προσευχῆς καὶ πάλιν θεραπεύουσι· εἶτα τίθενται ἐπὶ κραββάτου πεπυρακτωμένου· ἔπειτα ἐμβάλλονται εἰς λέβητας καχλάζοντος μολίβδου πλήρεις· καὶ ἀπαθεῖς ἐξελθόντες ἐπισπῶνται πρὸς τὴν τοῦ Χριστοῦ πίστιν τὸν Ἀφθόνιον στρατιώτην ὄντα· ὃς καὶ παραυτίκα ἔξω τειχῶν τὴν κεφαλὴν ἀποτέμνεται. Εἶτα ἐμβάλλονται[4] εἰς θυλάκους βοείους καὶ ῥίπτονται εἰς[5] θάλασσαν· ἀνασωθέντες δὲ ζῶντες

3. — [1] Sa. θλίψοις S.
4. — [1] Καισαρίου Sa. — [2] χαλκοῦ *add.* H.
5. — [1] μαρτύρων *add.* Sa.
1. — [1] Ἐλπιδηφόρου Sa. *et deinceps.* — [2] χώρας *add.* Sa. — [3] πόλεως *add.* Sa. — [4] βάλλονται Sa. — [5] τὴν *add.* Sa.

Νοε. 1. Θεὸς ἀπεκάλυψε τῷ ἁγίῳ Κοσμᾷ, ὅτι οὐ μισθοφορίας ἕνεκεν ἐδέξατο τὰ ᾠά, ἀλλ' ἵνα μὴ παρακούσῃ τοῦ ὅρκου. Ἐτάφησαν οὖν ἐν τῷ τόπῳ Φερεμᾶν, πολλὰς ἰάσεις ἐπιτελοῦντες. — 2 : Κυριαίνης. Αὕτη ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ πόλεως Ταρσοῦ τῆς Κιλικίας. Ἥτις ὑπὸ τοῦ ἐκεῖσε ἡγεμόνος κρατηθεῖσα, τὸν Χριστὸν ἀρνήσασθαι καὶ εἰδώλοις προσκυνῆσαι οὐκ ἐπείσθη· διὸ ξυρίζεται τὴν κεφαλὴν σὺν ταῖς ὀφρύσι[8] καὶ πιττάκιον ὑβρεότραφον μετὰ μήλων ἑπτὰ προσδεσμοῦσιν αὐτῆς τῷ μετώπῳ ὄψῳ τε ἐπικαθίσαντες καὶ νάρθηκι[9] ὑπὸ σχολιτῶν παιδίων τύπτοντες, οὕτως ὑπὸ μίμων[10] καὶ ἀτάκτων στρατιωτῶν τὴν Ταρσὸν πόλιν γυμνὴν περιῆγον τετράκις. Εὐξαμένης δὲ αὐτῆς, ὥστε μὴ ὁρᾶσθαι γυμνήν, ὑπὸ θείας χάριτος ἐσκεπάσθη τὸ σῶμα· καὶ οὐχ ὡρᾶτο γυμνὴ τοῖς εἰδωλολάτραις· ὅθεν ἀπαχθεῖσα ἐν τῇ πόλει Ῥωσῷ[11], μετὰ γυναικὸς χριστιανῆς, Ἰουλιανῆς λεγομένης ἐκ τῆς πόλεως Ῥωσοῦ πυρὶ παραδίδοται. — 3 : Ἰωάννου ἐπισκόπου καὶ Ἰακώβου πρεσβυτέρου τοῦ ἐπικαλουμένου Ζηλωτοῦ, ὅστις ἐλέγετο υἱὸς Μαρίας. Οὗτοι ὑπῆρχον ἐπὶ Σαβωρίου βασιλέως ἐν Περσίδι, διδάσκοντες τὸν λόγον τῆς πίστεως καὶ πολλοὺς ἐπιστρέφοντες ἀπὸ τῶν εἰδώλων ἐπὶ τὸν Κύριον. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἐθεάσατο ὁ ἐπίσκοπος Ἰωάννης κατ' ὄναρ ἄνδρα τινὰ δήμιον κατέχοντα σπάθην, ἥτις ἐν τῷ ἄκρῳ εἶχε στεφάνιον. Ὅστις δήμιος δραμὼν ἐπὶ τὸν ἐπίσκοπον, ἐπέθηκεν ἐν τῇ κεφαλῇ αὐτοῦ εἰπών· « Λάβε, ὦ ἐπίσκοπε, στεφάνιον ὃ ἐπεθύμησας. » Καὶ μετ' ὀλίγας ἡμέρας κρατηθεὶς μετὰ Ἰακώβου τοῦ πρεσβυτέρου καὶ πολλὰ τιμωρηθέντες πρότερον καὶ διαφόροις βασάνοις προσομιλήσαντες, ὕστερον διὰ ξίφους ἐτελειώθησαν, εὐχαριστοῦντες Κυρίῳ τῷ Θεῷ ἡμῶν μέχρι θανάτου, ὅτι ὑπὲρ αὐτοῦ παθεῖν ἠξιώθησαν· καὶ ἐτάφησαν ἐντίμως ὑπὸ πιστῶν καὶ εὐλαβῶν ἀνδρῶν. — **M** : 1. 2. 4. 3. — Ἑρμηνιγγίλδου[12] (Oct. 30[8]). — Κυπριανὸς καὶ Ἰουλιανὴ πυρὶ τ. (cf. 2). — 5. — **Mv** : 1. 2. 4. 3. — Ἑρμηνιγγίλδου[12]. — **Mr** : 1.

Νοε. 2. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1. 2. — **P** : 1. 2 (... Ὠκαιαροῦ ... Καρτερίου, Νικοπολίτου, Σταυρακίου, Τοβήλ). — **Da** : 1 : Ἀκινδύνου, Πηγασίου, Ἀνεμποδίστου, Ἀφθονίου καὶ Ἐλπιδιφόρου. Οὗτοι οἱ ἅγιοι τῆς Περσῶν γῆς ὄντες καὶ τὰ πρῶτα παρὰ Σαβωρίου[1] βασιλέως Περσῶν φέροντες, τὴν εὐσέβειαν ἄκρως ἐκέκτηντο. Συλληφθέντες οὖν τύπτονται κρεμασθέντες καὶ τὰς πλευρὰς πυρὶ καταφλέγονται. Ἐπεὶ δὲ βλασφημεῖν ὁ βασιλεὺς εἰς Χριστὸν ἐπεχείρησεν, ἀφωνίᾳ τοῦτον οἱ ἅγιοι καταδικάζουσιν καὶ αὐθις λύουσιν[2]· ἔπειτα[3] ἐπὶ κραββάτων σιδηρῶν πεπυρωμένων τίθενται καὶ ὄμβρου καταρραγέντος, ἡ φλὸξ σβέννυται· καὶ τοῦ Διὸς τὸ ἅγαλμα εὐχῇ καταβάλλουσιν. Διὰ τοῦτο ὑποχαλῶνται λέβησι μεστοῖς μολύβδου καχλάζοντος· καὶ ἀβλαβεῖς διαμείναντες[4], Ἀφθόνιον πρὸς τὴν εἰς Χριστὸν[5] πίστιν ἐπισπῶνται, ὃς παραχρῆμα καὶ τὴν κεφαλὴν ἀφῃρέθη· καὶ ἐν μοσχείοις[6] θυλάκοις βληθέντες καὶ τῇ θαλάσσῃ ῥιφέντες, ἀνασώζονται· καὶ τὸν Ἐλπιδιφόρον πρῶτον ὄντα τῆς συγκλήτου πρὸς τὴν εἰς Χριστὸν ἐκκαλοῦνται πίστιν μεθ' ἑτέρων ἑπτακισχιλίων. Οἵτινες τὰς κεφαλὰς ἀπετμήθησαν. Οἱ δὲ περὶ Ἀκίνδυνον, Πηγάσιον καὶ Ἀνεμπόδιστον εἰς βόθρον ἀπορρίπτονται μεστὸν θηρίων·

— [8] ταῖς φρύες Cd. — [9] νάρθακι Cd. — [10] μίνων Cd. — [11] Ῥοσῷ *et deinceps* Cd. — [12] Ἑρμενιγγίλδου M, Mv.
[1] Σαβώρη Ba. — [2] Ba, λύονται Da. — [3] καὶ Ba. — [4] ἀνέπαφοι μείναντες Ba. — [5] τὴν τοῦ Χριστοῦ Ba. — [6] βοείοις Ba.

ἐπὶ τὴν ξηράν, πρὸς τὴν πίστιν ἐφέλκονται τὸν Ἐλπιδιφόρον ὄντα πρῶτον τῆς συγκλήτου· ᾧ συμπροσῆλθε καὶ πλῆθος ἀνδρῶν πολὺ ὡσεὶ πεντακισχιλίων· οἵ[6] ὑετοῦ διὰ τῆς τῶν ἁγίων εὐχῆς γενομένου τὸ βάπτισμα ἔλαβον· καὶ πάντες τὰς κεφαλὰς ἀπετμήθησαν σὺν τῷ Ἐλπιδιφόρῳ. Ὁ δὲ ἅγιος Ἀκίνδυνος, Πηγάσιος καὶ Ἀνεμπόδιστος εἰς βόθρον ἀπορρίπτονται μεστὸν ὄντα θηρίων παντοδαπῶν· ἀβλαβεῖς οὖν ἐκεῖθεν ἐξελθόντες καὶ τὴν
f. 70. μητέρα τοῦ βασιλέως | πρὸς τὴν πίστιν ἑλκύσαντες, ἔσχατον εἰς κάμινον ἐμβληθέντες πυρὸς σὺν τῇ μητρὶ τοῦ βασιλέως καὶ ἑτέροις εἴκοσι καὶ ὀκτὼ στρατιώταις, τὸ μακάριον δι' αὐτῆς εὕραντο τέλος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι ἐν τῷ Δευτέρῳ. Νοε. 2.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀττικοῦ, Εὐδοξίου, Ἀγαπίου, Μαρίνου, Ὠκεανοῦ, Εὐστρατίου, Καρτερίου, Νικοπολιτιανοῦ, Στύρακος, Τωβία καὶ τῆς συνοδίας αὐτῶν. Οὗτοι ὑπῆρχον στρατιῶται ἐν Σεβαστείᾳ ἐπὶ Λικινίου[1] βασιλέως· ἐξετασθέντες δὲ[2] ὑπὸ Αὐξάνοντος ἄρχοντος τῆς αὐτῆς πόλεως καὶ Μαρκέλλου δουκὸς καὶ Μάρκου τοῦ Ἀγρικολάου καὶ ἀνυπερβλήτοις βασάνοις ὑποβληθέντες, πυρὶ παραδίδονται· ἐν ᾧ καὶ τὰς ψυχὰς αὐτῶν τῷ Θεῷ παρέθεντο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ'.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀκεψιμᾶ ἐπισκόπου, Ἰωσὴφ πρεσβυτέρου καὶ Ἀειθαλᾶ διακόνου. Οὗτοι ὑπῆρχον ἐπὶ Σαβωρίου τοῦ βασιλέως ἐν Περσίδι, Ῥωμαίων δὲ βασιλεύοντος Κωνσταντίνου τοῦ μεγάλου. Ἦν οὖν ὁ ἅγιος Ἀκεψιμᾶς ἐπίσκοπος Ἀνιθᾶ, λευκὸς τὴν τρίχα, πρεσβύτης ἤδη γεγονὼς ἐτῶν ὀγδοήκοντα, συνεστὼς[1] ἔτι ἔχων τὸ σῶμα, εὐμήκης καὶ ὄρθιος, περιουσίαν κεκτημένος πολλήν· συσχεθεὶς δὲ μετὰ τῶν σὺν αὐτῷ καὶ παραστὰς Ἀδαρχόσχαρ τῷ ἀρχιμάγῳ καὶ μὴ πεισθεὶς θῦσαι τῷ ἡλίῳ καὶ τῷ Ἄρει[2], μᾶλλον δὲ εἰς αὐτοὺς ἐξυβρίσας, τύπτεται ἰσχυρῶς καὶ δεσμεῖται· εἶτα ἄγεται ὁ ἅγιος Ἰωσὴφ ἐκ πόλεως ὧν[3] Βηθλαβουθᾶ καὶ αὐτὸς ἤδη γηραιός· καὶ ἀντιστὰς τῷ ἀρχιμάγῳ, τείνεται καὶ μαστίζεται, ὡς διαιρεθῆναι τὰς σάρκας αὐτοῦ μέχρι τῶν ὀστέων· καὶ δεσμεῖται[4] μετὰ τοῦ ἁγίου Ἀκεψιμᾶ· εἶτα ὁ ἅγιος Ἀειθαλᾶς ὁμολογήσας τὸν Χριστόν, δεσμεῖται τὰς χεῖρας ὑπὸ τὰ γόνατα καὶ κάτω ξύλῳ τεθεὶς καὶ μαστιζόμενος ἐξαρθροῦται πάσας τὰς ἁρμονίας τοῦ σώματος καὶ εἰς τὴν φυλακὴν μετὰ τῶν λοιπῶν παραπέμπεται. Μετὰ ταῦτα ὁ μὲν Ἀκεψιμᾶς ὑπὸ τριάκοντα στρατιωτῶν τυπτόμενος παρέδωκε τὴν ψυχήν. Ὁ δὲ ἅγιος Ἰωσὴφ κατὰ Νοε. 3.

— [6] οἵτινες Sa.
2. — [1] Λικιννίου S. — [2] *om.* Sa.
1. — [1] συνιστὼς Sa. — [2] Ἄρεει Sa. — [3] *om.* Sa. — [4] συνδεσμεῖται Sa.

καὶ ἀβλαβεῖς διαμείναντες, τὴν μητέρα τοῦ βασιλέως πρὸς τὴν πίστιν καθείλκυσαν. Ὅθεν καμίνῳ πυρὸς ἐμβληθέντες τέλος εὕραντο τῆς ἀθλήσεως. — 2 (Εὐδοξίου, Ἀγαπίου, Μαρίνου, Ὠκεανοῦ, Εὐστρατίου, Καρτερίου). — **F** : 1. 2. — **Fa** : 1. 2. — **B** : 1. 2. — **Ba** : 1 (contuli cum Da). — 2 (= S). — Καισαρείου κτλ. (Νοε. 1[4], om. Σάβα). — **T** : 1. — **L** : 1. 2. — **O** : 1. 2. — **C** : 1. 2. — **Cb** : 1. 2. — **Cc** : 1. 2. — **Cd** : 1. 2 : Ἀττικοῦ, Εὐδοξίου, Ἀγαπίου, Μαρίνου, Ὠκεανοῦ, Εὐστρατίου, Καρτερίου, Νικοπολιτιανοῦ, Στυρακίου, Τωβία καὶ τῆς συνοδίας αὐτῶν. Οὗτοι οἱ ἅγιοι στρατιῶται ὑπῆρχον ἐν τῇ πόλει Σεβαστείᾳ ἐπὶ Λικινίου τοῦ βασιλέως. Οἵτινες συνεβούλευον πάσῃ τῇ στρατιᾷ ἐμμένειν τῇ πίστει τοῦ Χριστοῦ· διὸ βασανίζονται ὑπὸ Μαρκέλλου τοῦ δουκὸς καὶ Αὐξάνοντος[7] τοῦ τῆς πόλεως Σεβαστείας ἄρχοντος· εἶτα ἐμβάλλονται εἰς φυλακήν. Ἐκβληθέντες δὲ τύπτονται κατὰ τοῦ νώτου καὶ τῆς κοιλίας βουνεύροις ὠμοῖς· εἶτα ἐκριζοῦνται τοὺς ὀδόντας. Τιμωρουμένων δὲ τῶν ἁγίων, ἔλεγεν ὁ δοὺξ πρὸς τὸν ἅγιον Καρτέριον ὅτι· « Σὺ μόνος ἀπέστησας τὸν λαὸν τῆς τοῦ βασιλέως ὑποταγῆς. » Ὁ δὲ ἔλεγεν ὅτι « Οὐ συνεβούλευσα τῷ λαῷ ἐπαναστῆναι τῷ βασιλεῖ, ἀλλὰ προσελθεῖν τῷ ἀθανάτῳ βασιλεῖ » Χριστῷ. » Μετ' αὐτοὺς ἄγεται Στυράκιος καὶ ὁμολογεῖ τὸν Χριστόν· καὶ αὖθις Τωβίας ὁ Νικοπολίτης καὶ κατακρίνονται πάντες ξύλοις συντριβῆναι. Καὶ ταύτης τῆς βασάνου γενομένης, ἔλαβον τὴν διὰ τοῦ πυρὸς ἀπόφασιν· καὶ οὕτως ἐτελειώθησαν. — **M** : 1. — Οἱ ἅγιοι μάρτυρες οἱ ἀπὸ τῆς συγκλήτου βουλῆς ξ. τ. — Μαρκιανοῦ τοῦ ἐν τῇ Κύρῳ (Ian. 18[2]). — **Mv** : 1. — Οἱ ἀπὸ τῆς συγκλήτου κτλ. — Εὐδοξίου, Ἀγαπίου καὶ λοιπῶν ἁγίων ὀκτώ. — Μαρκιανοῦ. — **Mr** : 1. Νοε. 2.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1. — Ἰωαννικίου... Τελεῖται δὲ ἡ αὐτοῦ[1] σύναξις ἐν τῇ μονῇ τῶν Καλλιστράτου (Νοε. 4[2]). — **P** : 1. — Ἰωαννικίου. — **Da** : 1 : Ἀκεψιμᾶ ἐπισκόπου, Ἰωσὴφ πρεσβυτέρου καὶ Ἀειθαλᾶ διακόνου. Οὗτοι ὑπῆρχον ἐπὶ Σαβωρίου βασιλέως Περσῶν· καὶ συσχεθέντες παρίστανται εἰς ἐξέτασιν Ἀδρασχαγὰρ[2] τῷ ἀρχιμάγῳ· καὶ εὐθέως τύπτεται ὁ ἅγιος Ἀκεψιμᾶς ῥάβδοις ῥοΐναις· ὁ δὲ ἅγιος Ἰωσὴφ τείνεται καὶ μαστίζεται, ὡς διαρεθῆναι τὰς σάρκας αὐτοῦ μέχρι τῶν ὀστῶν· καὶ φρουρεῖται δεδεμένος. Ὁ δὲ ἅγιος Ἀειθαλᾶς δεσμευθεὶς χεῖρας καὶ πόδας ὑπὸ τὰ γόνατα, ἐξαρθροῦται τὰς ἁρμονίας μαστιζόμενος καὶ τῇ εἱρκτῇ ἐγκλείεται· μετὰ ταῦτα ὁ μὲν ἅγιος Ἀκεψιμᾶς ὑπὸ τριάκοντα στρατιωτῶν τυφθεὶς παρέδωκε τὴν ψυχήν. Ὁ δὲ Ἰωσὴφ κατὰ κεφαλῆς κρεμασθεὶς καὶ ἱκανῶς ξανθεὶς κατελεύσθη. Ὁ δὲ ἅγιος Ἀειθαλᾶς ὑπὸ μ'[3] στρατιωτῶν <ταθεὶς καὶ[4]> τυφθεὶς κρεμᾶται καὶ αὐτός, κάτω μὲν ἔχων τὴν κεφαλὴν ἄνω δὲ τοὺς πόδας· καὶ οὕτως τὸ πνεῦμα παρέδωκεν. — 2 (= S). — **F** : 1. — Ἰωαννικίου. — **Fa** : 1. 2. — Ἰωαννικίου. — **B** : 1. — Ἰωαννικίου. — **Ba** : 1 Νοε. 3.

— [7] αὐξάνονται Cd.
[1] αὐτῶν H. — [2] Ἀδαρχοσχὰρ Ba, S. — [3] τεσσάρων Sa. — [4] ταθεὶς καὶ *add.* Ba. *om.* Da.

Nov. 3. f. 70v. κεφαλῆς κρεμασθεὶς καὶ ἱκανῶς ξανθεὶς κατε-
λεύσθη ὑπὸ τῶν λίθων χωσθείς. | Ὁ δὲ ἅγιος
Ἀειθαλᾶς ταθεὶς ὑπὸ τεσσάρων[5] στρατιωτῶν
καὶ τυφθεὶς κρεμᾶται καὶ αὐτός, κάτω μὲν
ἔχων τὴν κεφαλὴν ἄνω δὲ τοὺς πόδας· καὶ
οὕτως καὶ αὐτὸς τὸ πνεῦμα τῷ Θεῷ παρατίθησι.
Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ προφητείῳ
τοῦ ἁγίου προφήτου Ἐλισσαίου τῷ ὄντι ἐν τοῖς
Ἀντιόχου.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου[1] Ἀκεψιμᾶ,
ὃς ὑπῆρχεν ἐπὶ Θεοδοσίου τοῦ μεγάλου. Οὗτος ἐν
οἰκίσκῳ καθείρξας ἑαυτὸν ἑξήκοντα διετέλεσεν ἔτη
μήτε ὁρώμενος μήτε φθεγγόμενος, ἀλλ' εἰς ἑαυτὸν
νεύων καὶ τὸν Θεὸν φανταζόμενος πᾶσαν ἐκεῖθεν
ψυχαγωγίαν ἐδέχετο. Τὸ δὲ ὄρυγμα οὐ δι' ὅλου ἦν
κατ' εὐθὺ κατορωρυγμένον, ἀλλ' ἐγκάρσιον ἑλικο-
ειδῶς κατεσκευασμένον· τροφὴ δὲ αὐτῷ ἐκομίζετο 5
φακὸς διάβροχος ὕδατι· ἅπαξ δὲ τῆς ἑβδομάδος
νύκτωρ ἑξιὼν τὸ ἄρκοῦν ὕδωρ ἀπὸ τῆς ἐγγιζούσης
ἀνιμᾶτο πηγῆς παρὰ μηδενὸς βλεπόμενος. Οὕτω
θεαρέστως ὁ μακάριος πολιτευόμενος καὶ πολλῶν
θαυμάτων γενόμενος αὐτουργὸς καὶ τὴν τοῦ πρε- 10
σβυτερίου ἀξίαν βίᾳ καταδεξάμενος, ἐν εἰρήνῃ
βαθείᾳ[2] τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ'.

Nov. 4. **1.** Μνήμη τῶν ἁγίων ἱερομαρτύρων Νικάνδρου
ἐπισκόπου τῆς Μυρέων πόλεως καὶ Ἑρμαίου
πρεσβυτέρου χειροτονηθέντος παρὰ Τίτου ἀπο-
στόλου καὶ ἐπισκόπου Κρήτης[1]. Οὗτοι πολλοὺς
τῶν εἰδώλων ἀποσπῶντες καὶ τῷ Χριστῷ προσά-
γοντες διεβλήθησαν τῷ τῆς πόλεως ἄρχοντι[2]
Λιβανίῳ. Ὁ δὲ τοῖς ἁμιλλητηρίοις αὐτοῦ προσδή-
σας τούτους ἵπποις[3] καὶ ἐλαύνων ἐτιμώρει.
Συρέντες οὖν οἱ ἅγιοι ἐπὶ πολύ, τραυματίαι ἐγέ-
νοντο, τῶν σαρκῶν αὐτῶν κατακοπεισῶν ἐπὶ
τοσοῦτον, ὥστε καὶ τὴν γῆν πᾶσαν φοινιχθῆναι τῷ
αἵματι. Εἶτα πάλιν ἐκέλευσεν ἀναρτηθέντας σπα-
θίζεσθαι καὶ εἰς κάμινον πυρὸς ἀπορριφῆναι· ἀβλα-
βεῖς δὲ διαμείναντας θείᾳ ῥοπῇ, ἐκέλευσεν ὁ μάταιος
κατὰ τῶν καρδιῶν αὐτῶν καὶ τῆς κεφαλῆς καὶ τῶν
σπλάγχνων ἥλους ἐμπαγῆναι καὶ ἔτι πνέοντας ἐν
τάφῳ ἀσφαλισθῆναι· καὶ οὕτω τῇ σκληρᾷ καὶ
ἀνυποίστῳ βίᾳ παρέδωκαν τῷ Θεῷ τὰς ἁγίας
αὐτῶν ψυχάς.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς
f. 71. ἡμῶν Ἰωαννικίου τοῦ | θαυματουργοῦ. Οὗτος ὁ
μακάριος γεννᾶται τὸ τέταρτον ἔτος τῆς τοῦ
Κοπρωνύμου Λέοντος[1] τυραννίδος, χώρας μὲν φὺς
τῆς[2] Βιθυνῶν κώμης τῶν Μαρυκάτων, πλησίον
Ἀπολλωνιάδος κειμένης λίμνης, πατρὸς μὲν Μυριτ-
ζίκη[3], μητρὸς δὲ Ἀνάστασοῦς· καὶ εἰς μέτρον ἡλι-
κίας πεφθακώς, τῷ μγ'[4] ἔτει τῆς αὐτοῦ ἡλικίας
κατὰ Βουλγάρων ἐστράτευσεν· οὓς κατακόψας καὶ
τοὺς ὁμοφύλους διασώσας[5] ἐπ' ὄψεσι τοῦ βασι-
λέως καὶ ἀπωσάμενος τὴν ἐκ τῆς νίκης ταμιευομέ-
νην αὐτῷ παρὰ τοῦ κρατοῦντος δόξαν τε καὶ
τιμήν, καταλαμβάνει τὸ ὄρος, ἐν ᾧ θείᾳ φωνῆς
αὐτήκοος γεγονὼς τὰ τῶν ὀρέων ὑψηλότερα
φθάνει. Ἐν οἷς δύο μοναχοὺς[6] περιτυγχάνει οὐχ
ὁραθέντας παρά τινος πώποτε τρίχινά τε περιβε-
βλημένους καὶ βοτάναις ἀγρίαις[7] τρεφομένους[8],
οἳ καὶ περὶ πάντων αὐτῷ προήγγειλαν, ἐπιδεδωκό-
τες περιβόλαιον ἐξ ὧν εἶχον εὐχῆς χάριν. Ἐκεῖθέν
τε ἀπολυθεὶς τὸ τοῦ Τριχάλικος ὄρος καταλαμβά-
νει, εἶτα τὴν τῶν Αὐτάρων μονήν, εἶτα τῆς Κουν-
δουρίας τὰ ὄρη· καὶ μαθὼν τριάκοντα μόνους
ψαλμούς, ἔψαλλε μετά τινος σμικροτάτου τροπα-
ρίου οὕτω συντεθειμένου· « Ἡ ἐλπίς μου ὁ Θεός,
» καταφυγή μου ὁ Χριστός, σκέπη μου τὸ Πνεῦμα

— [5] τεσσάρων Sa, μ' S, Ba.
2. — [1] πατρὸς ἡμῶν *add.* Sa. — [2] *om.* Sa.
1. — [1] Κρίτης Sa. — [2] κόμητι Sa. — [3] ἵππους S.
2. — [1] *om.* Sa. — [2] τῶν *add.* Sa. — [3] Μυριτζήκη Sa. — [4] μ' καὶ γ' Sa. — [5] περισώσας Sa. — [6] μοναχοὺς β' Sa. — [7] βοτάνας ἀγρίας S. — [8] τρεφόμενος Sa.

Nov. 3. (contuli cum Da). — 2 (= S). — **T** : 1. — **L** : 1. — Ἰωαννικίου. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ τῶν Καλλιστράτου. — **O** : 1. — **C** : 1. — Ἰωαννικίου. — 2. — **Cb** : 1. — Ἰωαννικίου. — 2. — **Cc** : 1. — Ἰωαννικίου. — 2. — **Cd** : 1. — Ἰωαννικίου. — 2. — **M** : 1. 2. — Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου ἐπισκόπου Ἀγκύρας. — Καὶ τῶν ἁγίων μαρτύρων Σεβήρου, Ἀνδρωνᾶ, Θεοδότου καὶ Θεοδότης ξ. τ. (Νον. 4[6]). — Ὁ ὅσιος πατὴρ ἡμῶν Ἠλίας ἐν εἰρήνῃ τ. — Οἱ ἅγιοι ἐννέα μάρτυρες ξ. τ. — Οἱ ἅγιοι κη' μάρτυρες π. τ. — **Mv** : 1. 2. — Θεοδώρου. — Σεβήρου κτλ. — Οἱ ἅγιοι ἐννέα μάρτυρες. — Οἱ ἅγιοι κη' μάρτυρες. — Ἑορτάζομεν τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου ἐν Λύδδῃ[5] ἤτοι τὴν κατάθεσιν τοῦ ἁγίου σώματος αὐτοῦ. — Ἀχεμενίδου τοῦ ὁμολογητοῦ τοῦ Πέρσου. — **Mr** : 1 (Ἀκεψιμᾶ, Ἰωσὴν καὶ Ἀειθαλᾶ). — Ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου κτλ. — 2.

Nov. 4. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. — **H** : 3. 1. 5 (Θεοδώρου). — 6 (Δασίου, Σευήρου, Ἀνδρωνᾶ, Θεοδότου καὶ Θεοδότης). — **P** : 3. 1. 5 (Θεοδώρου). — 6 (Δασίου, Σεβήρου, Ἀνδρωνᾶ καὶ Θεοδότου καὶ Θεοδότης μάρτυρος). — **Da** : 2. 1. 3. — **F** : 1. 3. — **Fa** : 1. 3. — **B** : 3. 4. — **Ba** : 2 (= S). 1 (= S). 3 (= S). 4 (= S). — **T** : 1. 2. — **L** : 3. 1. 5 (Θεοδώρου). — 6 (add. Θεοδότης). — **O** : 2. 1. 3. — **C** : 3. 4. 5 (Θεοδώρου). — 1. — **Cb** : 3. 4. 5 (Θεοδώρου). — 6 (Δασίου, Σεβίρου ...). — 1. — **Cc** : 3. 4. 5 (Θεοδώρου). — 1. — **Cd** : 3. 4. 5 (Θεοδώρου). — 1 : Νικάνδρου ἐπισκόπου Μύρων καὶ Ἑρμαίου πρεσβυτέρου. Τίτος ὁ τοῦ μεγάλου ἀποστόλου φοιτητής, ἐπίσκοπος Κρήτης παρὰ τοῦ ἀποστόλου ἐγένετο, ὅστις τὸν Νίκανδρον ἐπίσκοπον Μύρων ἐποίησε καὶ τὸν Ἑρμαῖον πρεσβύτερον. Οἵτινες

— [5] Λυδδίᾳ Mv.

» τὸ ἅγιον. » Οὗτος ὁ μακάριος πολλοὺς τόπους
καὶ πόνους διαμειψάμενος καὶ μέγιστα ἐργασάμε-
νος τεράστια καὶ περὶ τῶν μελλόντων προειπὼν
καὶ πρὸς τὴν Ἀντιδίου μονὴν ἐλθὼν πλήρης τε
5 ἡμερῶν γενόμενος, μετὰ τρίτην ἡμέραν τῆς τοῦ
ἁγίου Μεθοδίου ἐν Κωνσταντινουπόλει πατριαρ-
χείας, ἣν προεῖπεν αὐτῷ[9], ἀνεπαύσατο ἐν Κυρίῳ,
ἐτῶν ὑπάρχων ἐνενήκοντα τεσσάρων. Τελεῖται δὲ
ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ τῶν Καλλιστράτου.

10 **3.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Πορφυ-
ρίου τοῦ ἐκ μίμων. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασι-
λείας Αὐρηλιανοῦ[1] ἐκ τῆς Ἐφεσίων πόλεως ὁρμώ-
μενος καὶ ἐκ μικρᾶς ἡλικίας μίμοις καὶ θεάτροις
ἐντραφείς. Ὃς διὰ τὴν αὐτὴν[2] αἰτίαν τῷ κόμητι
15 Ἀλεξάνδρῳ ἐφεπόμενος ἦχθη εἰς Καισάρειαν.
Οὗτος τὰ[3] τῶν χριστιανῶν ποτε ὑποκριθείς, ὑφ'
ἑτέρου μίμου, τὸν ἐπίσκοπον σχηματισαμένου
f. 71v. βαπτίζεται, | καταπαίζοντος δῆθεν καὶ ἐπιχλευά-
ζοντος τὰ ἡμέτερα. Οὗ γενομένου καὶ στολὴν λευ-
20 κὴν ἀληθῶς ὑποδύντος, ἀγγέλων ἁγίων αὐτοῦ
προπορευομένων μετὰ λαμπάδων καὶ ψαλλόντων·
« Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθησαν, » αὐτὸς μὲν
τέλειον τὸν χριστιανισμὸν ὑπεδέξατο καὶ κατὰ
ἀνατολὰς προσηύχετο καὶ τῷ μετώπῳ καὶ παντὶ
25 τῷ σώματι τὸν σταυρὸν διέγραφε, τοῦτο διδα-
χθεὶς παρὰ τῶν ἀγγέλων. Πολλοὶ δὲ προσῆλθον τῇ
τοῦ Χριστοῦ πίστει τοῦτον ἰδόντες οὕτω λαμπρῶς
ἔχοντα· οἳ καὶ διὰ νεφέλης ἐβαπτίσθησαν καὶ τῇ
καθολικῇ ἐκκλησίᾳ προσῆλθον· εἶτα τοῦ κόμη-

Nov. 4. τος τὸν ἅγιον προσκαλεσαμένου, ἐπεὶ μὴ τὰ τῶν
χριστιανῶν ἐξωμόσατο, ξίφει αὐτοῦ τὴν κεφα-
λὴν ἀποτέμνει· καὶ οὕτως ἐπληρώθη αὐτοῦ ἡ
μαρτυρία.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀποστόλων
ἐκ τῶν ο', Πατρόβα, Ἑρμᾶ, Λίνου, Γαΐου καὶ
Φιλολόγου. Οὗτοι ὑπῆρχον ἐκ τῶν ἑβδομήκοντα
μαθητῶν καὶ ἀποστόλων. Καὶ ὁ μὲν Πατρόβας, οὗ
καὶ ὁ μέγας Παῦλος ἐν ταῖς αὐτοῦ ἐπιστολαῖς
μέμνηται, ἐπίσκοπος Ποτιόλων ἐγένετο, πολλοὺς
βαπτίσας καὶ προσαγαγὼν τῷ Χριστῷ. Ὁ δὲ Rom. 16, 14.
Ἑρμᾶς, οὗ καὶ αὐτοῦ ὁ μέγας αὐτὸς[1] ἀπόστολος
μέμνηται ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, ἐπίσκο-
πος Φιλιππουπόλεως ἐγένετο. Ὁ δὲ Λῖνος μετὰ
Πέτρον τὸν ἁγιώτατον ἀπόστολον τῆς μεγάλης
Ῥώμης ἐπίσκοπος ἐχρημάτισεν. Ὁ δὲ Γάϊος, οὗ Rom. 16, 23.
καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται, μετὰ τὸν
ἅγιον Τιμόθεον ἐπίσκοπος Ἐφέσου ἐγένετο. Ὁ
δὲ Φιλόλογος, οὗ καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστο- Rom. 16, 15.
λος μέμνηται, ἐπίσκοπος Σινώπης ἐγένετο ὑπὸ
Ἀνδρέου τοῦ πρωτοκλήτου τῶν ἀποστόλων. Καὶ
ἐπισκοπήσαντες ἐν ταῖς δηλωθείσαις πόλεσι καὶ
πλείστους πειρασμοὺς καὶ θλίψεις διὰ τὸν τῆς
εὐσεβείας λόγον ὑπομείναντες καὶ πολλοὺς προσα-
γαγόντες τῷ Χριστῷ, ἐτελειώθησαν.

5. Καὶ[1] ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν Θεο-
δότου ὁμολογητοῦ, ἐπισκόπου Ἀγκύρας.

6. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Δασίου,
Σευηριανοῦ, Ἀνδρονᾶ καὶ Θεοδότου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε'.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Γαλακτίω-
νος καὶ Ἐπιστήμης. Οὗτοι ὑπῆρχον ἐπὶ τῆς
βασιλείας Διοκλητιανοῦ καὶ Σεκούνδου ἡγεμόνος.
Καὶ ὁ μὲν Γαλακτίων υἱὸς ἦν Κλειτοφῶντος[1] καὶ Nov. 5.
Λευκίππης, ἀμφοτέρων ἑλλήνων. Μεταμαθόντες[2] f. 72.
δὲ τὴν εὐσέβειαν παρά τινος μοναχοῦ Ὀνουφρίου

— [9] αὐτὸς Sa.
3. — [1] Αὐριλιανοῦ S. — [2] αὐτοῦ Sa. — [3] τῇ Sa.
4. — [1] καὶ αὐτοῦ ὁ αὐτὸς μέγας Sa.
5. — [1] τῇ αὐτῇ ἡμέρα Sa.
1. — [1] Κλειτοφώντου Sa. — [2] μαθόντων Sa.

πολλοὺς διδάσκοντες τῶν ἑλλήνων, διαβάλλονται Λιβανίῳ κόμητι τῆς πόλεως. Ὁ δὲ θέαν ἐπιτελῶν τοῖς Nov. 4.
δαίμοσιν, ἀγαγὼν αὐτοὺς καὶ μὴ πείσας ἀρνήσασθαι τὸν Χριστόν, τοῖς ἁμιλλητηρίοις ἵπποις προσδήσας,
οὕτως ἐτιμωρεῖτο. Συρέντες οὖν οἱ ἅγιοι δι' ὅλου τοῦ σταδίου ἔτι τοῖς ζῶσι κατηριθμοῦντο· γόητας δὲ
αὐτοὺς ἀποκαλέσας, ἐκέλευσεν αὐτοὺς ἀναρτηθῆναι καὶ σπαθίζεσθαι καὶ λαμπάδας[1] πυρὸς προσά-
γεσθαι αὐτοῖς. Παρείθησαν δὲ αἱ χεῖρες τῶν δημίων. Τότε λέγει· « Γινώσκετε· εἰ μὴ θύσετε, ἀποθνή-
» σκετε. » Οἱ δὲ εἶπον· « Οὕτως αἱρούμεθα. » Ὁ δέ· « Καὶ οὐ θέλετε ζῆν; » Οἱ δέ· « Εἰ ἐᾷς ἡμᾶς μεθ'
» ὧν ἐγνώκαμεν καὶ πιστεύομεν, βουλόμεθα· εἰ δὲ μή, ἀναίρει. » Τότε κελεύει αὐτοὺς ἐμβληθῆναι εἰς
κάμινον· καὶ διαφυλαχθέντας προστάσσει κατὰ κεφαλῆς καὶ καρδίας ἥλους πηχθῆναι καὶ ἔτι ἐμπνέοντας
ἐν τύμβῳ ἀσφαλισθῆναι. Καὶ οὕτως ἐν τῇ τοιαύτῃ τιμωρίᾳ ἐτελειώθησαν. — **M** : 2. 1. 3. — Διήγησις
εἰς τὸν θρῆνον τοῦ προφήτου Ἱερεμίου περὶ τῆς Ἱερουσαλὴμ καὶ εἰς τὴν ἅλωσιν ταύτης καὶ περὶ
τῆς ἐκστάσεως Ἀβιμέλεχ. Ἱερεμίας οὗτος ὁ μέγας προφήτης ἐξ Ἀναθὼθ τυγχάνων τῆς κώμης, περὶ
Ἱερουσαλὴμ καὶ Βαβυλῶνος πολλὰ προηγόρευσεν ... Des. ἡ δὲ παρουσία τοῦ Χριστοῦ ἔσται τὸ σημεῖον,
ὅταν ἔθνη πάντα προσκυνήσωσι ξύλον, δοξάζοντες καὶ εὐλογοῦντες τὸν Θεόν, ᾧ πρέπει πᾶσα δόξα εἰς
τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. — **Mv** : 2. 1. 3. — Διήγησις εἰς τὸν θρῆνον τοῦ προφήτου Ἱερεμίου. —
Mr : 2. 1.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 1. 2. 4. 5. — **P** : 1. 2. 4. 5. 3 (... ἐν τῷ Σπαρακίῳ). — Nov. 5.
Da : 1 (= F). 2. — **F** : 1 : Γαλακτίωνος καὶ Ἐπιστήμης. Οὗτοι ὑπῆρχον ἐπὶ Σεκούνδου ἡγεμόνος.
Τούτων ὁ Γαλακτίων[1] υἱὸς ἦν Κλητοφῶντος καὶ Γλευκίππης[2] ἀμφοτέρων ἑλλήνων. Στείρας οὖν οὔσης
τῆς Γλευκίππης, διά τινος μοναχοῦ Ὀνουφρίου λεγομένου ἀτρευθεὶς εἰς τὴν πίστιν, ἐβαπτίσθη σὺν

[1] λαμπάσι Cd.
[1] Γαλακτίον F. — [2] Γλευκίπης F.

Nov. 5. λεγομένου καὶ τὸ πρὸς σωτηρίαν αὐτοί τε καὶ ὁ υἱὸς αὐτῶν Γαλακτίων δέχονται βάπτισμα. Ἡ δὲ Ἐπιστήμη καὶ αὐτὴ ὁμοίως ἕλληνας τοὺς γεννησαμένους ἔχουσα, ἐπεὶ τῷ Γαλακτίωνι εἰς γάμον ἐπεδόθη, παραυτίκα βαπτίζεται· καὶ διατηρήσαντες ἀμφότεροι τὴν παρθενίαν ἄτρωτον, τὸν μοναδικὸν βίον ὑπέρχονται. Πᾶσαν δὲ σκληραγωγίαν καὶ κακουχίαν διενεγκόντες συνελήφθησαν παρὰ τοῦ ἄρχοντος Οὔρσου· καὶ ἐρωτηθέντες τύπτονται σφοδρῶς καὶ καλάμους[3] ὀξυνθέντας[4] τοῖς ὄνυξιν[5] ἐμπείρονται καὶ μαχαίρᾳ χεῖρας καὶ πόδας ἀκρωτηριασθέντες τελευταῖον καὶ αὐτὰς τὰς κεφαλὰς ἀποτέμνονται.

2. Καὶ [1] ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Δομνίνου καὶ τῶν σὺν αὐτῷ. Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ τυράννου καὶ Οὐρβανοῦ τοῦ [2] Παλαιστίνης ἄρχοντος. Ὁ δὲ ἅγιος Δομνῖνος πολλὰ μὲν καὶ πρὸ τῆς τοῦ μαρτυρίου τελειώσεως ἐν τοῖς τοῦ χαλκοῦ μετάλλοις ἐνήθλησε, πλεῖστα δὲ καὶ πρὸς αὐτὸ τὸ τέλος[3], ὅτε καὶ τῇ τοῦ πυρὸς κολάσει κατακρίνεται. Θεότιμον δὲ μετὰ τοῦτον καὶ Τιμόθεον καὶ Φιλόθεον, τὴν ἀκμὴν τοῦ σώματος φέροντας καὶ ὡραίους καὶ καλοὺς τῇ ὄψει ὑπάρχοντας, ἐπὶ πυγμῇ μονομαχίας καταδικάζει ὁ τύραννος· Δωρόθεον δὲ σεμνόν τινα καὶ ἱερὸν πρεσβύτερον θηρίοις πρὸς βορὰν παραδίδωσι, Καρτέριον δὲ καὶ Εὐψύχιον, τελείων ἀνδρῶν φέροντας ἡλικίαν, ἀποτμηθέντας τὰ αἰδοῖα ἐπὶ τὸ τῶν εὐνούχων μεταφέρει γένος· τὸν δὲ Σιλβανὸν τοῖς κατὰ Φανὼν[4] μετάλλοις ἐγκρίνει καὶ παρθένους[5] τρεῖς ἀκολάστοις πορνοτρόφοις ἐκδίδωσι καὶ ἄλλας δεσμοῖς καθείργνυσιν. Ὁ δὲ τοῦ Θεοῦ μάρτυς Πάμφιλος καὶ πάσῃ σοφίᾳ καὶ ἀρετῇ ἄκρος, σφοδρότατα[6] αἰκίζεται τὰς πλευρὰς ἅπαξ καὶ δὶς καὶ τῇ εἱρκτῇ ἐναπορρίπτεται σὺν ἑτέροις ὁμολογηταῖς,

— [3] καλάμοις S. — [4] ὀξέσι Sa. — [5] τοὺς ὄνυχας Sa.
2. — [1] τῇ αὐτῇ ἡμέρα Sa. — [2] τῆς *add.* Sa. — [3] αὐτῷ τῷ τέλει Sa. — [4] καταφανὼν S, καταφανῷ Sa. — [5] παρθένοις γὰρ Sa. — [6] σοφώτατα Sa.

Nov. 5. αὐτῇ καὶ ὁ ταύτης ἀνήρ· οἵτινες τῇ εὐχῇ καὶ τῇ δεήσει τοῦ μοναχοῦ ἀπέτεκον τὸν Γαλακτίωνα καὶ πᾶσαν πεῖραν γραμμάτων αὐτὸν ἐξεπαίδευσαν καὶ τελευταῖον γυναικὶ συζευγνύουσι λεγομένῃ Ἐπιστήμῃ, ἥτις διὰ τοῦ ταύτης ἀνδρὸς προσῆλθεν τῇ ἀληθινῇ πίστει. Καὶ αὐτοὶ τὴν παρθενίαν διετήρησαν καὶ τὰ αὐτῶν ἅπαντα τοῖς δεομένοις σκορπίσαντες[3] τὸν μοναδικὸν ὑπεισῆλθον βίον, τῇ ἄγαν νηστείᾳ καὶ σκληραγωγίᾳ ἑαυτοὺς ἐκδεδωκότες. Διωγμοῦ δὲ πνεύσαντος κατὰ τῶν χριστιανῶν, συνελήφθησαν παρὰ τοῦ ἄρχοντος Οὔρσου καὶ ἐρωτηθέντες καὶ ἀντιπεσόντες, αὐτίκα ἀποδυθέντες τύπτονται σφοδρῶς καὶ καλάμους ὀξυνθέντας τοῖς ὄνυξιν ἐμπείρονται· καὶ μετὰ ταῦτα τέμνονται μαχαίρᾳ χεῖρας καὶ πόδας. Τὸ δὲ τελευταῖον καὶ τὰς κεφαλὰς καρατομοῦνται, καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία. Ἦν δὲ τότε τριακοστὸν ἔτος ἄγων ὁ γενναῖος Γαλακτίων, ἡ δὲ Ἐπιστήμη ἓξ καὶ δέκατον. — Θεοδώρου τοῦ ὁμολογητοῦ ἐπισκόπου Ἀγκύρων (cf. Nov. 4[5]). — Δασίου, Σευήρου, Ἀνδρονᾶ, Θεοδότου καὶ Θεοδότης (Nov. 4[6]). — 4. 5. 2. — **Fa** : 1. — Δασίου κτλ. — 4. 5. 2. — **B** : 1. 2. — **Ba** : 1. 2. — **T** : 1. — **L** : 1. 4. 5. 3 (... ἐν τοῖς Παρακίου). — **O** : 1. 2. — **C** : 1. — Τοῦ ἁγίου μάρτυρος Δομνίνου τοῦ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης. — 4 : Ἀγαθαγγέλου. — 5 : Κάστωρος τοῦ ἐπισκόπου. — 2 : Δομνίνου καὶ τῶν σὺν αὐτῷ Τιμοθέου, Θεοτίμου, Δωροθέου, Καρτερίου καὶ Σιλβανοῦ. Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως· διδάσκοντες δὲ τὸν λόγον τοῦ Θεοῦ καὶ πολλοὺς ἐπιστρέφοντες ἐπὶ τὸν Κύριον, διεβλήθησαν τῷ βασιλεῖ Μαξιμίνῳ καὶ κρατηθέντες ἐτιμωρήθησαν ἰσχυρῶς· εἶτα κατεδικάσθησαν ταλαιπωρεῖσθαι ἐν τοῖς τοῦ χαλκοῦ μετάλλοις καὶ μετὰ χρόνον πολὺν ἐκβληθέντες καὶ καταναγκασθέντες θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθέντες ἐκρεμάσθησαν καὶ ἐξέσθησαν ἀνηλεῶς. Ὁρῶν δὲ τὴν καρτερίαν αὐτῶν Πάμφιλός τις ἀνὴρ πανάριστος καὶ λογισάμενος ὅτι εἰ μὴ εἶχον οὗτοι μεγάλας ἐλπίδας, τοιαύτας τιμωρίας οὐχ ὑπέμενον, ἐπίστευσε τῷ Χριστῷ σὺν γυναικὶ παρθένοις τρισί· καὶ οὕτως μετὰ τῶν λοιπῶν ἁγίων διὰ ξίφους ἐτελειώθησαν. — **Cb** : 1. — Δομνίνου τοῦ ἐν Καισαρείᾳ. — 4. 5 (Κάτωνος). — 2. — **Cc** : 1. — Δομνίνου τοῦ ἐν Καισαρείᾳ. — 4. 5 2. — **Cd** : 1. — Δομνίνου τοῦ ἐν Καισαρείᾳ. — 4. 5. 2. — **M** : 1. — Τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ο' Πατρώβα, Ἑρμῆ, Λίνου, Γαΐου καὶ Φιλολόγου (Nov. 4[4]). — 2. — Θεότιμος, Θεόφιλος καὶ Τιμόθεος πυγμαῖς βαλλόμενοι τ. — Θεόδωρος ὁ πρεσβύτερος θηρίοις ἐκδοθεὶς τ. — Εὔψυχος καὶ Καρτέριος τὰ αἰδοῖα ἀποτμηθέντες τ. — Σιλβανὸς εἰς μέταλλα βληθεὶς τ. — Πάμφιλος ξεσθεὶς καὶ φυλακισθεὶς τ. — Γρηγορίου ἀρχιεπισκόπου Ἀλεξανδρείας[4]. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Γρηγόριος ἐκ νεαρᾶς ἡλικίας τὸν Χριστὸν ἀγαπήσας, κατεκόσμησεν ἑαυτὸν πάσαις ταῖς κατὰ Θεὸν ἀρεταῖς· ὅθεν καὶ [5] μετὰ τὴν τελευτὴν τοῦ ἁγιωτάτου πάπα Ἀλεξανδρείας ἐκ θείας προνοίας χειροτονεῖται παρά τε [5] τῶν συνεληλυθότων ἐπισκόπων καὶ τοῦ φιλοχρίστου λαοῦ ἀρχιεπίσκοπος Ἀλεξανδρείας καὶ γέγονε διδάσκαλος τῆς ὀρθοδοξίας ἀκριβής, πρᾶος, ταπεινός, ἐλεήμων, ὀρφανῶν πατήρ, χηρῶν ὑπερασπιστής, ὁδηγὸς τῶν πεπλανημένων, ἰατρὸς τῶν νοσούντων[6], παράκλησις τῶν θλιβομένων[7]. Καὶ ἦν ἰδεῖν πάντας χαίροντας καὶ εὐφραινομένους. Ἀλλ' ὁ σκανδαλουργὸς διάβολος ὑποβαλὼν τῷ τότε βασιλεύοντι Λέοντι τῷ [8] εἰκονομάχῳ, πείθει τὸν ἅγιον ἀπὸ Ἀλεξανδρείας μεταστείλασθαι δέσμιον ἐν Κωνσταντινουπόλει. Καὶ τούτου γενομένου, παραστὰς ἤλεγξεν αὐτὸν ἐνώπιον πάσης τῆς συγκλήτου, αἱρετικὸν καὶ ἄθεον καὶ ἀσεβῆ τοῦτον ἀποκαλέσας. Ὁ δὲ μὴ φέρων τὰς ὕβρεις, βουνεύροις κατέξανε τὰς σάρκας αὐτοῦ καὶ καθεῖρξε λιμαγχονήσας. Ὁ δὲ ἅγιος εὐχαρίστως πάντα ὑποφέρων[9], ἔλεγε πρὸς τοὺς παρόντας· « Ὑπὲρ » τῆς τοῦ Χριστοῦ καὶ Θεοῦ μου ἁγίας εἰκόνος ἑτοίμως ἔχω μελητὸν κατατμηθῆναι. » Ταῦτα μεμα-

— [3] κορπήσαντες F. — [4] τοῦ ὁμολογητοῦ *add.* Mv. — [5] *om.* Mv. — [6] τῶν νοσούντων ἰατρὸς Mv. — [7] τῶν θλιβομένων παράκλησις Mv. — [8] τῷ τότε Λέοντι ὑποβαλὼν Mv. — [9] φέρων Mv.

ἔνθα τὸ τέλος αὐτῶν ἐπληρώθη καὶ ἡ μαρτυρία.

3. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τοῦ ἁγίου[1] Θεοδώρου ἐν τοῖς Σπαρακίου[2].

4. Καὶ μνήμη τοῦ ἁγίου Ἀγαθαγγέλου. Nov. 5.

5. Καὶ [1] ἱερομάρτυρος Κάστορος τοῦ ἐπισκόπου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ς'.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἀρχιεπι-
f. 72v. σκόπου | Κωνσταντινουπόλεως Παύλου τοῦ ὁμολογητοῦ. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν ἐκ τῆς Θεσσαλονικέων ὥρμητο πόλεως, ὑπογραφεὺς γενόμενος Ἀλεξάνδρου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως. Τοῦτον οἱ ὀρθόδοξοι μετὰ τὴν κοίμησιν Ἀλεξάνδρου προχειρίζονται ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως, τοῦ Κωνσταντίου [1] ἐν Ἀντιοχείᾳ διάγοντος. Καταλαβὼν δὲ ὁ Κωνστάντιος ἐξ Ἀντιοχείας τὴν Κωνσταντινούπολιν, ἐκβάλλει τοῦτον τοῦ θρόνου. Ὁ δὲ πρὸς τὴν Ῥώμην ἀφίκετο μετὰ Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας, καὶ αὐτοῦ τοῦ ἰδίου θρόνου ἀπελαθέντος· γράμμασι δὲ τοῖς παρὰ Ἰουλίου πάπα Ῥώμης ὀχυρωθέντες, τὰς οἰκείας ἐκκλησίας ἀπολαμβάνουσι καὶ αὖθις παρὰ τοῦ βασιλέως ἐκβάλλονται, σπουδῇ τῶν Ἀρειανῶν συμφρονοῦντος αὐτοῖς. Καταλαμβάνουσι δὲ πάλιν τὴν Ῥώμην καὶ τοὺς ἰδίους αὖθις θρόνους ἀπολαμβάνουσι διὰ γραμμάτων Κώνσταντος τοῦ ἀδελφοῦ Κωνσταντίου καὶ Ἰουλίου πάπα καὶ πάλιν ἐκ τῶν ἰδίων θρόνων ἐλαύνονται. Προσκειμένου [2] δὲ τοῦ Κώνσταντος καὶ πρὸς τὸν ἀδελφὸν γράψαντος τοῦ ἀποστεῖλαι τοὺς κατὰ Ἀθανασίου καὶ Παύλου ἐπισκόπους διελέγξοντας αὐτούς, εἰ δὲ μή, τὴν εἰρήνην λύσειν καὶ ἐλθεῖν ἐν Κωνσταντινουπόλει ἀράμενον ὅπλα, δείσας ὁ Κωνστάντιος ἀποκαθιστᾷ τούτους[3] ταῖς οἰκείαις ἐκκλησίαις. Μετὰ δὲ τὸ ἀναιρεθῆναι τὸν Κώνσταντα ἐν τῇ Ῥώμῃ πάλιν[4] ἐκδιώκονται τῶν ἐκκλησιῶν· καὶ ὑπερορίζεται ὁ ἅγιος Παῦλος ἐν Κουκουσῷ τῆς Ἀρμενίας καὶ καθείργνυται ἔν τινι δωματίῳ, ἐν ᾧ ὁ τοῦ ἔθνους ἡγούμενος τῇ τῶν Ἀρειανῶν συμβουλῇ τοῦτον ἀπέπνιξεν. Τελεῖται δὲ ἡ τούτου σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐν ἡμέρᾳ κυριακῇ. Nov. 6.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς μετὰ φιλανθρωπίας κατενεχθείσης κόνεως ἐπὶ Λέοντος τοῦ μεγάλου, ὀκτωκαιδεκάτῳ ἔτει τῆς αὐτοκρατορίας αὐτοῦ, ἕκτῃ [1] νοεμβρίου μηνός. Περὶ γὰρ τὰς μεσημβρινὰς ὥρας ἅπας ὁ οὐρανὸς συννεφὴς γεγονὼς τὴν συνήθη τῶν ὀμβροφόρων νεφελῶν μελανίαν εἰς πυρώδη θέαν μεταβαλών, ἐδόκει τὰ πάντα | καταφλέγειν. Εἰς τοσοῦτον γὰρ ἐξέπληξεν f. 73.
ἅπαντας, ὥστε καὶ ἐκ μόνης τῆς ὄψεως δοκεῖν ὡς, εἰ καὶ βροχὴ κατενεχθείη ἐκ τῶν τοιούτων νεφῶν, πάντως πῦρ ἔσται καὶ φλὸξ κατακαίουσα ὡς πάλαι τὰ Σόδομα. Διὰ τὴν ἀναμφίβολον [2] οὖν ταύτην προσδοκίαν πάντων τοῖς ἱεροῖς [3] μετ' οἰμωγῶν καὶ ἱκετείας προσπεφευγότων[4], ὁ φιλάνθρωπος Κύριος ὁ ὑπερβαίνων ἁμαρτίας καὶ συγχωρῶν ἀδικίας[5] καὶ μὴ θέλων[6] ἁμαρτωλῶν θάνατον, κερασάμενος τῇ τιμωρίᾳ τὴν ἀγαθότητα, ἐκέλευσεν ὕειν τοῖς νέφεσιν ὑετὸν ἀσυνήθη καὶ ξένον καὶ φόβον ἐμποιοῦντα τοῖς ἁμαρτήσασιν[7]· ἀπὸ γὰρ τῶν ἑσπερινῶν ὡρῶν ἀρξάμενος παρετάθη μέχρι μεσονυκτίου· τὸ δὲ κατερχόμενον κόνις ἦν μέλαινα καὶ σφοδρότατα ζέουσα παραπλησία τῇ καμινιαίᾳ αἰθάλῃ καὶ πλείστη[8], ὡς εὑρεθῆναι ὑπεράνω τῆς γῆς καὶ τῶν κεράμων ἐπιτεθεῖσα ἀνδρείας[9] σπιθαμῆς πλεῖον[10]· κατέκαυσε δὲ καὶ κατέφλεξε τὰ ἐκ τῆς γῆς ἀνιόντα, βοτάνας τε καὶ φυτά· ἐγένετο δὲ δυσέκπλυτος πάνυ, τήν τε τοῦ Θεοῦ ἀγανάκτησιν ὑπεμφαίνουσα καὶ τὴν ἁμαρτίαν εἰκονίζουσα· πολλῶν γὰρ καὶ [11] ῥαγδαίων ὄμβρων ἐπὶ πολλαῖς ἡμέραις κατενηνεγμένων, μόλις ποτὲ ὑπέστη ἐκπλυθῆναι, δηλοῦντος τοῦ πράγματος ὡς, τῆς ἁμαρτίας ἐν

3. — [1] μεγαλομάρτυρος *add.* Sa. — [2] *Cf. ad diem 23 sept., n. 1.*
5. — [1] τοῦ ἁγίου *add.* Sa.
1. — [1] βασιλέως *add.* Sa. — [2] προκειμένου Sa. — [3] τούτοις S. — [4] *om.* Sa.
2. — [1] Sa, πέμπτη S. — [2] ἀναμφίβαλον Sa. — [3] τῶν ἐκκλησιῶν ναοῖς *add.* Sa. — [4] προσφευγόντων Sa. — [5] καὶ συγχωρῶν ἀδικίας *om.* Sa. — [6] τῶν *add.* Sa. — [7] ἁμαρτάνουσιν Sa. — [8] πλείστο Sa. — [9] ἀνδρῴας Sa. — [10] πλέον Sa. — [11] *om.* Sa.

θηκὼς ὁ ἀλιτήριος ἐκεῖνος βασιλεὺς ἐξορισθῆναι τοῦτον [10] προσέταξεν. Ἀπελθὼν δὲ ὁ μακάριος ἐν τῇ ἐξορίᾳ καὶ ἐπὶ χρόνοις τρισὶν ἐκεῖσε διαρκέσας, εἰς χεῖρας Θεοῦ τὴν ψυχὴν παρέθετο. — 4. — **Mv** : 1. — Ἑρμοῦ, Λινοῦ κτλ. — 2. — Τιμόθεος κτλ. — Δωρόθεος θηρίοις ἐκδοθεὶς τ. — Εὔψυχος καὶ Καρτέριος. — Σιλβανός. — Πάμφιλος. — Γρηγορίου. — 4. — **Mr** : 1. Nov. 5.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 1. 2. add. : ἡ δὲ σύναξις αὐτὴ γίνεται ἐν τῷ ἀποστολείῳ τῶν ἁγίων Πέτρου καὶ Παύλου τῷ ὄντι ἐν τῷ Τρικόγχῳ. — **P** : 1. 2 : Συνέφθασε δὲ καὶ ἡ μνήμη τῆς μετὰ φιλανθρωπίας κατενεχθείσης κονίας. Συναγόμεθα δὲ ἐν τῷ ἀποστολείῳ τῶν ἁγίων Πέτρου καὶ Παύλου τῷ ὄντι ἐν τῷ Τρικόγχῳ. Ἕωθεν μέντοι συντρέχομεν ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ καὶ οὕτως λιτανεύοντες ἀπερχόμεθα ἐν τῇ εἰρημένῃ συνάξει. — **Da** : 1. 2. 3. 4. — **F** : 1. 2. 3. — In margine ad n. 3 : Τὰ λεγόμενα Φωτάρια. Et manu recenti : Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Διμιτριανοῦ τοῦ θαυματουργοῦ ἐπισκόπου Κυθερίας. — **Fa** : 1. 2. 3. — **B** : 1. 2. — **Ba** : 1. 2. — **T** : 1. — **L** : 1. 2 (σύναξις ... ἐν τῷ Τρικόγχῳ). — **O** : 1. 2. 3. — **C** : 1. 2. — **Cb** : 1. 2. — **Cc** : 1. 2. — **Cd** : 1. 2 : Ἀνάμνησις τῆς πεσούσης κόνεως ἤτοι στακτῆς. Ἐπὶ Λέοντος τοῦ μεγάλου βασιλέως τοῦ τῆς Βηρίνης [1] ἀνδρὸς τοῦ ἐπιλεγομένου Βέσσου, περὶ τὰ τελευταῖα τῆς αὐτοῦ βασιλείας, περὶ τὰς μεσημβρινὰς ὥρας, ἅπας ὁ οὐρανὸς γέγονε συννεφὴς καὶ τὴν συνήθη τῶν ὀμβροφόρων νεφελῶν μελανίαν εἰς Nov. 6.

— [10] τοῦτον ἐξορισθῆναι Mv.
[1] Βηρήνης Cd.

Nov. 6. ἡμῖν καθάπερ πυρίνης καὶ μελαίνης κόνεως ἐπικειμένης καὶ τὰ τῆς ἀρετῆς ἀναστήματα κατεσθιούσης ὡς πῦρ πολλῶν ἡμῖν δεῖ τῶν δακρύων σφοδροῦ τοῦ θρήνου κάτωθεν ἐξ αὐτῆς[12] ἀβύσσου τῆς καρδίας ἐν στεναγμοῖς καὶ πικρίᾳ ψυχῆς ἐπιβρεχομένων, ἵνα τὴν τῆς καμινιαίας φλογώδη αἰθάλην ἐκπλύναντες τὴν καλὴν γῆν τοῦ νοὸς πιανθεῖσαν καρποφορεῖν τὰ θεῖα παρασκευάσωμεν καὶ τὴν ἐν τῇ γεέννῃ τιμωρίαν ἐκφύγωμεν, καταφλέγουσαν τῶν ἐμπιπτόντων σὺν τοῖς σώμασι καὶ τὰς ψυχάς, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Λουκᾶ. Ὃς ὥρμητο ἐκ πόλεως Ταυρομενίου τῆς Σικελῶν ἐπαρχίας. Οὗτος ὁ μακάριος, νέαν ἄγων τὴν ἡλικίαν ὡσεὶ χρόνων δεκαοκτώ, νουνεχῶς ἐσχόλαζεν ἐν τοῖς οἴκοις τοῦ Θεοῦ πορευόμενος καὶ τῶν θείων λογίων ἀκροατὴς καὶ ποιητὴς γινό-
f. 73v. μενος. | Ὡς δὲ οἱ τοῦδε γονεῖς ἐβουλεύοντο τοῦτον γυναικὶ συζεῦξαι, αὐτὸς νύκτωρ ἀναστὰς εἰς ἄβατον τόπον ἀναχωρήσας, μετὰ τῶν θηρίων ᾤκει, ἡμέρας μ' διατελέσας ἄσιτος· ὅθεν θείας καὶ ἀγγελικῆς ἠξιώθη ἐπισκέψεως. Καὶ μετὰ ταῦτα καταλαμβάνει μονήν τινα καὶ περιβάλλεται τὸ ἀγγελικὸν σχῆμα, σκληροτέρᾳ ἀγωγῇ[1] ἑαυτὸν ὑποβαλλόμενος. Διὰ τριῶν γὰρ ἢ τεσσάρων ἡμερῶν γευόμενος ἄρτου καὶ ὕδατος καὶ μηδ' ὅλως σωματικῶς ἀναπαυόμενος διετέλεσε μῆνας ιη'· ἐκεῖθεν ἀπάρας ἔρχεται μετά τινος μοναχοῦ ἐν τῷ τῆς Αἴτνης ὄρει, ἐκ τῶν εὑρισκομένων ἐκεῖσε[2] βοτανῶν τρεφόμενος καὶ τὰς παννύχους[3] στάσεις τῆς νυκτὸς συνάπτων ταῖς τῆς ἡμέρας καὶ τὰς τῆς ἡμέρας ταῖς[4] τῆς νυκτός· διὰ δὲ τὴν τῆς φύσεως ἀνάγκην ἐκάθευδεν ὀλίγον κατακλινόμενος, μονοχίτων ὑπάρχων καὶ ἀπέδιλος. Ὅρος δὲ ἦν αὐτῷ καὶ κανὼν ἠκριβωμένος μὴ ἐξιέναι τῆς κέλλης, μέχρις ἂν τὸ ὅλον ἐπισυνάψῃ ψαλτήριον· εἶθ' οὕτως τὸν κανόνα τῆς τρίτης ὥρας ἐξετέλει, τὸ δὲ ὑπόλοιπον τῆς ἡμέρας τοῦ ἔργου ἥπτετο, μέχρις ἂν ὁ τῆς ἕκτης καιρὸς ἐπιστῇ, καὶ πάλιν ἀποθέμενος[5] τὸ ἔργον ηὔχετο ἐφ' ἱκανόν· καὶ οὕτως τὸν κανόνα τῆς ἕκτης ἀποτελῶν, τοῦ μικροῦ σιτηρεσίου ἐφρόντιζε καὶ τῆς λοιπῆς[6] ἀκολουθίας· καὶ οὐδέποτε ἦν ἐν ἀργίᾳ διατελῶν, ἀλλὰ ποτὲ μὲν εἰργάζετο, ποτὲ δὲ ἔψαλλε, ποτὲ δὲ προσηύχετο. Ἐν τούτοις ὤν, χάριτος ἠξιώθη θεόθεν μεγίστης σοφίας καὶ γνώσεως καὶ μυστηρίων ἀποκαλύψεως καὶ διαλύσεως λόγων δυσνοήτων· διὸ καί τινες ἔλεγον· « Πόθεν οὗτος » οἶδε γράμματα μὴ μεμαθηκώς; » Τὸ δὲ τῆς ταπεινοφροσύνης αὐτοῦ ἄπλαστον καὶ τὸ τῆς ἀγάπης γνήσιον καὶ τὸ τῆς διακρίσεως μέγεθος καὶ[7] συμπαθὲς τίς λόγος διαγράψειε; Μετὰ ταῦτα τόπον τινὰ δι' ἀποκαλύψεως καταλαμβάνει καὶ δώδεκα μοναχοὺς ἀθροίσας, τούτων ἐπεμελεῖτο. Διὰ ταύτην τὴν αἰτίαν καὶ εἰς τὸ Βυζάντιον ἀφικνεῖται καὶ περιελθὼν τὰ τῶν μοναζόντων οἰκίδια καὶ τοῖς πατράσι κοινωσάμενος, ὑποστρέψας κατῆλθε μέχρι
f. 74. Κορίνθου[8], καὶ ἔν τινι | κώμῃ ἐνοικήσας[9] οὐ πλεῖον μῆνας ἑπτά, ἐν εἰρήνῃ ἐκοιμήθη, πολλῶν καὶ ἀπείρων θαυμάτων ἐκεῖσε τελεσθέντων καὶ πηγῆς ἀειρρύτου βλυσάσης μύρου θείου εἶδος[10]. Ἔστι δὲ ὁ ἅπας χρόνος τῆς ζωῆς αὐτοῦ ἔτη τεσσαράκοντα <τέσσαρα[11]>.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ Κορινθίου[1] τοῦ διὰ Χριστὸν σαλοῦ[2] καὶ σημειοφόρου γεγονότος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ'.

Nov. 7. **1.** Ἄθλησις τοῦ ἁγίου[1] Ἱέρωνος τοῦ ἐν Μελιτινῇ καὶ τῶν σὺν αὐτῷ λγ', οἳ ἤθλησαν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων. Οὗτος ὁ Ἱέρων ἀνδρεῖος ἦν κατὰ τὸ σῶμα καὶ εὐσεβὴς κατὰ τὴν[2] ψυχήν, γεωργὸς τὸ ἐπιτήδευμα. Τοῦτον ἔν τινι τόπῳ κατέλαβον ἐργαζόμενον οἱ τῶν εἰδώλων θεραπευταὶ καὶ βουλόμενοι ἐλεῖν λῃστρικῶς οὐκ ἠδυνήθησαν. Ἑκὼν δὲ παραγενόμενος πρὸς τὸν ἄρχοντα καὶ παρ' αὐτοῦ ἐρωτηθείς, ἐξ αὐτοῦ ἀγκῶνος τὴν δεξιὰν χεῖρα κόπτεται. Οἱ δὲ λοιποὶ

— [12] τῆς *add.* Sa.

3. — [1] διαγωγῇ Sa. — [2] ἐκεῖθεν Sa. — [3] πανύχους S. — [4] *om.* Sa. — [5] ἀποτιθέμενος Sa. — [6] λυπῆς S. — [7] τὸ *add.* Sa. — [8] Κορύνθου S. — [9] οἰκήσας Sa. — [10] εἴδους S, Sa. — [11] Sa, Da, Fa, *om.* S.

4. — [1] Κορυνθίου S. — [2] τοῦ Sa.

1. — [1] μάρτυρος *add.* Sa. — [2] *om.* Sa.

Nov. 6. πυρώδη θέαν μεταβαλών, ἐδόκει πάντα καταφλέγειν· εἰς τοσοῦτο γὰρ ἐξέπληξεν ἅπαντας, ὥστε καὶ ἐκ μόνης τῆς ὄψεως δοκεῖν πάντας, ὡς, εἰ καὶ βροχὴ κατενεχθῇ ἐκ τῶν τοιούτων νεφῶν, πάντως πῦρ ἔστα καὶ φλὸξ κατακαίουσα ὡς πάλαι τὰ Σόδομα. Διὰ τὴν ἀμφιβολίαν γοῦν ταύτην καὶ προσδοκίαν πάντων τῶν ἱερέων μετ' οἰμωγῶν καὶ ἱκεσίας προσφευγόντων, ὁ φιλάνθρωπος Κύριος ὁ ὑπερβαίνων ἁμαρτίας καὶ συγχωρῶν ἀδικίας καὶ μὴ θέλων ἁμαρτωλῶν θάνατον, κερασάμενος τῇ τιμωρίᾳ τὴν ἀγαθότητα, ἐκέλευσεν ὕειν τοῖς νέφεσιν ὑετὸν ἀσυνήθη καὶ ξένον καὶ φόβον ἐμποιοῦντα τοῖς ἁμαρτάνουσιν. Ἀπὸ γὰρ τῶν ἑσπερίων ὡρῶν ἀρξάμενον παρετάθη μέχρι μεσονυκτίου· τὸ δὲ κατερχόμενον κόνις ἦν μέλαινα καὶ σφοδροτάτη ζέουσα παραπλησία τῇ καμινιαίᾳ αἰθάλῃ καὶ πλείστη, ὡς εὑρεθῆναι ὑπεράνω τῆς γῆς καὶ τῶν κεράμων ἐπιτεθεῖσα ἀνδρείας σπιθαμῆς πλεῖον· ἥτις κατέκαυσε πάντα τὰ φυτά· ἐγένετο δὲ καὶ δυσέκπλυτος καὶ πολλῶν ὄμβρων γενομένων οὐκ ἐπλύσθη ὡς τῆς ἁμαρτίας δηλούσης τὸ ἀσυνέκνιπτον καὶ δυσέκπλυτον καὶ ἀντὶ τῶν ὄμβρων δεῖται δακρύων. — In margine, fol. 43, manu multo recentiore: καὶ τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου ἱερομάρτυρος Λεονάρδου. — **M** : 1. 2. 3. 4. — **Mv** : 1. 2. 3. 4. — **Mr** : 1.

Nov. 7. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 3. 2. 1 (ἄθλησις με' μαρτύρων ... τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου τῷ ὄντι ἔνδον τοῦ σεβασμίου οἴκου τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις). — 4. — **P** : 3. 4. 1. — **Da** : 1. 3. 4. —

ἐπὶ γῆς ῥιφέντες βουνεύροις καταξαίνονται· τῇ δὲ ἔωθεν πάλιν ἐφ' ἱκανὰς ὥρας ῥαβδισθέντες καὶ ἀφανισθέντες τὰ σώματα, ἔξω τῆς πόλεως Μελιτινῆς τὰς κεφαλὰς ἀπετμήθησαν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Ἀθηνοδώρου, ἀδελφοῦ τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου[1] Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου, τῷ ὄντι ἔνδον τοῦ σεβασμίου οἴκου τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων[1] Ἀντωνίου καὶ τῶν γεννητόρων αὐτοῦ Μελασίππου καὶ Κασσίνης. Οὗτοι ἤθλησαν ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου ἐν Ἀγκύρᾳ τῇ πόλει, τῇ πίστει[2] ὄντες χριστιανοί. Καὶ ὁ μὲν Ἀντώνιος ἐβλήθη εἰς φυλακήν, Μελάσιππος δὲ καὶ Κασσίνη κρεμασθέντες ἐξέσθησαν καὶ πυρὶ κατεφλέχθησαν[3]· εἶτα τέμνεται τοὺς μαστοὺς ἡ Κασσίνη. Ὁ δὲ Μελάσιππος ἀφαιρεῖται τοὺς πόδας ἀπὸ τῶν γονάτων· ὁ δὲ Ἀντώνιος νέος ὤν, ἐπεὶ μὴ κολακείαις ἐπείσθη, τρισκαιδεκάτου γὰρ ἔτους ἐτύγχανεν, ἀναρτηθεὶς ξέεται διὰ τὸ ἐμπτῦσαι εἰς τὸ πρόσωπον[4] Ἰουλιανοῦ καὶ Μελάσιππον μακαρίσαι καὶ Κασσίνην τοὺς αὐτοῦ γεννήτορας[5], ἔτι ἐπὶ τῶν
f. 74v. βασανι|στηρίων ξύλων κρεμαμένους καὶ τὰς μακαρίας αὐτῶν ψυχὰς ἀποδόντας Κυρίῳ· καὶ τοὺς ἀστραγάλους διαπερονᾶται καὶ βάρει λίθων τοὺς πόδας ἀλγύνεται[6] καὶ ἐπὶ θρόνου σιδηροῦ πυρωθέντος ἐφιδρύεται καὶ τὴν κεφαλὴν ξυρᾶται καὶ τὴν πόλιν περιάγεται ἔχων λίθον ἐπικρεμάμενον αὐτοῦ τῷ τραχήλῳ· καὶ αὖθις κρεμᾶται καὶ ξέεται καὶ παραπέμπεται Ἀγριππίνῳ δουκὶ καὶ παρ' αὐτοῦ εἰς κλίβανον πυρὸς ἐμβάλλεται καὶ θηρίοις βορὰ προτίθεται· ἐξ ὧν καὶ[7] διατηρηθεὶς ἀβλαβής, σαράκοντα παῖδας ἐπεσπάσατο πρὸς τὴν εἰς Χριστὸν πίστιν, οἳ καὶ τὰς κεφαλὰς ἀπετμήθησαν. Ἔπειτα ἐπὶ κραββάτῳ πεπυρωμένῳ[8] ἁπλοῦται καὶ ῥάβδοις ἄνωθεν τύπτεται καὶ τὰς χεῖρας τέμνεται καὶ εἰς κάμινον ἐμβληθεὶς καὶ ἀβλαβὴς[9] φυλαχθεὶς καὶ πολλοὺς τῷ θαύματι πρὸς τὴν πίστιν ἐφελκυσάμενος, ἀπετμήθη τὴν κεφαλήν.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Αὔκτου καὶ Ταυρίωνος καὶ Θεσσαλονίκης. Οὗτοι ἤθλησαν ἐν Ἀμφιπόλει τῆς Μακεδονίας· καὶ ἡ μὲν Θεσσαλονίκη πολλὰς βασάνους ὑπομείνασα, τὰ πεπυρωμένα βέλη τοῦ ἐχθροῦ δίκην ἀχύρων[1] ποσὶ συνέτριψε. Αὕτη θυγάτηρ ἦν Κλέωνός τινος ἱερέως τοῦ Διονύσου, ἀνδρὸς περιφανοῦς τὸν βίον καὶ πλούτῳ κομῶντος. Ἀλλὰ ταῦτα τὴν παῖδα οὐκ ἐχαύνωσαν οὐδὲ τῆς τῶν χριστιανῶν πίστεως ἀπέστησαν. Πολλὰ γὰρ αὐτὴν λιπαρήσας ὁ ταύτης πατὴρ Κλέων οὐδὲν ἤνυσε. Διὰ τοῦτο ὠμοῖς δέρμασι τύπτεται ἐπὶ γυμνοῦ[2] καὶ τὰς πλευρὰς καταθλᾶται· καὶ ἀλλοτριωθεῖσα[3] τῶν προσόντων αὐτῇ πάντων, ὑπερόριος γίνεται παρὰ[4] τοῦ ἰδίου πατρός. Αὔκτος δὲ καὶ Ταυρίων οἱ θεοσεβέστατοι πολλὰ κατειπόντες τοῦ βαρβάρου ἐκείνου, διαβάλλονται πρὸς Θορύβιον ὑπατικὸν ὡς χριστιανοὶ καὶ αὐτίκα ἀποδυθέντες τὸν χιτῶνα ῥαβδίζονται σφοδρῶς, ὥστε τὸ ἔδαφος ἅπαν φοινιχθῆναι τῷ αἵματι· εἶτα λίθοις βάλλονται ἐπὶ τοσοῦτον, ὡς νιφάδας χειμερίους νομίζεσθαι μᾶλλον ἤπερ λίθων βολάς· μετὰ ταῦτα ἐν καμίνῳ ἐμβάλλονται σφοδρῶς ἐκκεκαυμένῃ[5]. Ὡς δὲ ἔμειναν ἀβλαβεῖς, τοῦ ὑετοῦ ταύτην ἀποσβέσαντος, τυφλω-

2. — [1] ἀποστόλου *add.* Sa.

3. — [1] μαρτύρων *add.* Sa. — [2] τὴν πίστιν Sa. — [3] κατεφλέγησαν Sa. — [4] τοῦ *add.* Sa. — [5] γονεῖς Sa. — [6] Sa, ἀλγεῖνεται S. — [7] *om.* Sa. — [8] κραββάτου πεπυρωμένου Sa. — [9] ὑγιὴς Sa.

4. — [1] τοῖς *add.* Sa. — [2] τοῦ σώματος ὑπὸ τεσσάρων *add.* Sa. — [3] ἄλλα τριωθεῖσα Sa. — [4] ὑπὸ Sa. — [5] ἐκκεκαυμένω *corr.* Sa.

Nov. 7. **F** : 1 (καὶ τῶν σὺν αὐτῷ ἁγίων λβ'). — Παύλου τοῦ Κορινθίου (Nov. 6[1]). — 3. 4. — **Fa** : 1. — Παύλου τοῦ Κορινθίου. — 3. 4. — **B** : 3. 1. 4. — **Ba** : 3. 1. 4. — **T** : 1. — **L** : 3. 2. 1 : Τῶν ἁγίων τριάκοντα τριῶν μαρτύρων τῶν ἐν Μελετινῇ μαρτυρησάντων Νίκανδρον[1], Ἡσύχιον, Ἀθανάσιον, Μάμαντα, Βαράχιον, Καλλίνικον, Θεογένην, Νίκωνα, Λογγῖνον, Θεόδωρον, Οὐαλέριον, Ξανθείαν, Θεόδωτον, Καλλίμαχον καὶ Εὐγένιον, Θεόδουλον καὶ Ὀστρύχιον, Ἱέρωνα, Ἐπιφάνιον, Μαξιμιανὸν καὶ Δουκίτιον, Κλαυδιανὸν καὶ Θεόφιλον, Γιγάντιον καὶ Δωρόθεον καὶ Διόδοτον, Καστρίκιον καὶ Ἀνίκητον, Θεμελίω καὶ Εὐτύχιον. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου τῷ ὄντι ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις. — **O** : 1. 3. 4. — **C** : 3. 1. 4. — **Cb** : 3. 1. 2. 4. — **Ce** : 3. 1. 4. — **Cd** : 3. 1 : Ἱέρωνος καὶ τῶν σὺν αὐτῷ λγ' μαρτύρων τῶν ἐν Μελιτινῇ[2] μαρτυρησάντων. Οὗτοι οἱ ἅγιοι μάρτυρες Ἱέρων, Νίκανδρος, Ἡσύχιος, Βάραχος, Μαξιμιανός, Καλλίνικος, Ξαντικός, Ἀθανάσιος, Θεόδωρος, Δουκίτιος, Εὐγένιος, Θεόφιλος, Οὐαλέριος, Θεόδοτος[3], Καλλίμαχος, Ἰλάριος, Γιγάντιος, Λογγῖνος, Θεμέλιος, Εὐτύχιος, Διόδοτος, Καστρίκιος, Θεαγένης, Μάμας, Νίκων, Θεόδουλος, Βοστρύκιος, Οὐίκτωρ[4], Δωρόθεος, Κλαυδιανός, Ἐπιφάνιος, Ἀνίκητος καὶ ἕτερος Ἱέρων. Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν παρανόμων καὶ ἀσεβεστάτων βασιλέων ἐν Μελιτινῇ[2] πόλει τῆς Ἀρμενίας. Διωγμοῦ δὲ καθολικοῦ γενομένου κατὰ τῶν χριστιανῶν καὶ πανταχοῦ ἀναιρουμένων τῶν εἰς τὸν Χριστὸν πιστευόντων, ἐκρατήθησαν καὶ αὐτοὶ παρὰ τοῦ τῆς Μελιτινῆς ἡγεμονεύοντος, καὶ πολλὰ τιμωρηθέντες καὶ διαφόροις βασάνοις προσομιλήσαντες οὐ μόνον οὐκ ἐπείσθησαν ἀρνήσασθαι τὸν Χριστὸν ἀλλὰ καὶ τὴν πλάνην τῶν εἰδώλων ἤλεγξαν ἀνδρειότατα· καὶ τὸν ἡγεμόνα καθύβρισαν ὡς ἄθεον καὶ ἀσεβῆ παράνομόν τε καὶ ἄδικον· ὅθεν κινηθεὶς ὁ ἡγεμὼν εἰς θυμόν, ξίφει τὰς τιμίας αὐτῶν ἀπέτεμε κεφαλάς. — 4. — **M** : 1. 3. — Ἀντώνιος μετὰ πολλὰς τιμωρίας ξ. τ. — 4. 2. — Τοῦ ἁγίου

[1] *lege* Νικάνδρου, Ἡσυχίου κτλ. — [2] Μελετινῇ Cd. — [3] Θεοδώτος Cd. — [4] Οὐήκτωρ Cd.

Nov. 7. f. 75. θεὶς ὁ τύραννος τὰς φρένας | τοξεύεσθαι αὐτοὺς ἐκέλευσε συχνότερον· καὶ ὡς διέμειναν[6] ἄτρωτοι, ἐν τῇ παρακειμένῃ ἐκεῖσε λίμνῃ ἐναπορρίπτονται, ἀλλὰ[7] πάλιν θείᾳ ῥοπῇ ἐπὶ τὴν ξηρὰν ἀνεσώθησαν. Ὁ δὲ τύραννος ἀπορίᾳ κατασχεθεὶς ξίφει τὰς κεφαλὰς αὐτῶν ἀπέτεμεν[8].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η'.

Nov. 8. **1.** Ἡ σύναξις τῶν ἀσωμάτων. Βουληθεὶς ὁ πανάγαθος καὶ φιλάνθρωπος Θεὸς τοῦτον τὸν κόσμον δημιουργῆσαι, πρῶτον ἐνενόησε τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους καὶ τὸ ἐννόημα γέγονεν ἔργον. Ἐνέταξε δὲ ἑκάστῃ τάξει ταξιάρχην καὶ ἀρχιστράτηγον· εἷς δὲ τῶν ταξιαρχῶν Σαμαὴλ[1] καλούμενος, ὁ καὶ διάβολος, ὑπερηφανευσάμενος καὶ ἑαυτὸν νομίσας θεόν, ἐξέπεσε τῆς ἀξίας αὐτοῦ καὶ ἐρρίφη ἐκ τῶν οὐρανῶν μετὰ τοῦ ὑπ' αὐτὸν[2] τάγματος. Ὑπάρχων δὲ ἑτέρας ἀγγελικῆς τάξεως ἀρχιστράτηγος ὁ ἀρχάγγελος Μιχαὴλ καὶ ἰδὼν τὸν ἀποστάτην πεσόντα, συνήγαγε τοὺς τῶν ἀγγέλων χοροὺς καὶ εἰπών· « Πρόσσχωμεν, » ὕμνησε μετὰ φωνῆς τὸν[3] τῶν ὅλων Θεὸν ὡσανεὶ λέγων ὅτι· « Πρόσσχωμεν ἡμεῖς οἱ κτιστοὶ γεγονότες καὶ τῷ » Θεῷ παριστάμενοι· τί πεπόνθασιν οἱ μεθ' ἡμῶν » μέχρι τοῦ νῦν φῶς ὑπάρχοντες καὶ νῦν γενόμε- » νοι σκότος; » Ἡ τοιαύτη οὖν συγκρότησις ὠνομάσθη σύναξις τῶν ἀσωμάτων, τοῦτ' ἔστιν προσοχὴ καὶ ὁμόνοια καὶ ἕνωσις. Ἡ[4] σύναξις αὐτῶν τελεῖται ἐν τοῖς Ἄδδα καὶ ἐν τῇ Ὀξείᾳ καὶ ἐν τῷ Σινάτορος, πλησίον Ἀρκαδιανῶν καὶ ἔνδον τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ, τοῦ πλησίον τοῦ Φόρου.

2. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια[1] τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου ἐν τοῖς Βεάτου[2] πλησίον τῶν Ἀνθεμίου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ'.

Nov. 9. **1.** Μνήμη τῆς ὁσίας <μητρὸς[1]> ἡμῶν Ματρώνης. Αὕτη ἦν ἐπὶ Λέοντος τοῦ μεγάλου καὶ Βηρίνης[2] τῆς αὐτοῦ γαμετῆς· ὑπῆρχε δὲ ἐκ Πέργης τῆς Παμφυλίας. Συναφθεῖσα δὲ ἀνδρὶ ὀνόματι Δομετίῳ καὶ μήτηρ μιᾶς παιδὸς γενομένη, ἀνέρχεται ἐν Κωνσταντινουπόλει μετὰ τοῦ οἰκείου ἀνδρὸς δεκαπέντε οὖσα ἐτῶν· καὶ γενομένη συνήθης παρθένῳ τινὶ ὀνόματι Εὐγενίᾳ καὶ τὴν | αὐτῆς ζηλώ- f. 75'.

— [6] διέμενον Sa. — [7] καὶ *add.* Sa. — [8] ἀπέτεμον Sa.
1. — [1] Σαταναὴλ Sa. — [2] Sa, αὐτοῦ S. — [3] τοῦ S. — [4] δὲ *add.* Sa.
2. — [1] τοῦ ναοῦ *add.* Sa. — [2] Sa, Βεατίου S.
1. — [1] *supra lin. corr.* Sa, *om.* S. — [2] ||||ηρίνης Sa.

Nov. 7. Γρηγορίου ἀδελφοῦ τοῦ θαυματουργοῦ (cf. 2). — Ἀλεξάνδρου τοῦ Θεσσαλονικέως διὰ ξ. τ. — **Mv** : 1 (τῶν ἁγίων τριάκοντα τριῶν μαρτύρων τῶν ἐν Μελιτινῇ, Ἱέρακος κτλ.). — 3. — Ἀντώνιος. — 4. 2. — Ἀλέξανδρος. — **Mr** : 1. — Λαζάρου τοῦ ἐν τῷ Γαλησίῳ ὄρει (Nov. 17[2]).

Nov. 8. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Μνήμη τοῦ ἁγίου μάρτυρος Δομετίου. — 2. — **H** : 1 (ἑορτὴ ... καὶ ἐν τῇ νέᾳ βασιλικῇ ἐκκλησίᾳ). — 2. — Ματρώνης (Nov. 9[1]). — **P** : 1. — Τῶν ὁσίων Ματρώνης καὶ Μαρώνης ἐπὶ Λέοντος τοῦ μεγάλου καὶ Βερήκας ἐκ Πέργης τῆς Παμφύλων ἐπαρχίας (cf. Nov. 9[1]). — **Da** : 1 (= Fa). — **F** : 1. — Ματρώνης. — **Fa** : 1 : Μιχαὴλ ὁ διαπρεπέστατος ταξίαρχος τῶν ἀσωμάτων δυνάμεων ἔν τε τῇ παλαιᾷ διαθήκῃ ἐν τε τῇ νέᾳ χάριτι πολλὰς αὐτοῦ τὰς εὐεργεσίας τῷ ἀνθρωπίνῳ γένει παρέδειξέ τε καὶ παραδείκνυσι. Ἐπεὶ γὰρ ὁ τῆς ἡμῶν σωτηρίας ἀντίπαλος τραχηλιάσας κατὰ τοῦ κτίσαντος καί· « Τὸν θρόνον μου ἐπάνω τῶν νεφελῶν » νεανιευσάμενος εἰπεῖν « θήσομαι » καὶ « τῷ » ὑψίστῳ ὅμοιος ἔσομαι » καυχησάμενος, τοῦ ἀρχαγγελικοῦ, ὥς φησιν ὁ Κύριος, ἐξέπεσεν ἀξιώματος (ἐθεώρουν γάρ, φησίν, τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα[1]), τὰ παραπλήσια δὲ τούτῳ καὶ τὸ ὑπ' αὐτὸν τάγμα ἀλαζονευσάμενον πέπονθεν, οὗτος ὁ παναοίδιμος τὴν πρὸς τὸν Δεσπότην εὐγνωμοσύνην ὡς πιστότατος οἰκέτης διαφυλάξας καὶ περὶ τὸ γένος ἡμῶν πολλὴν τὴν κηδεμονίαν ἐπιδεικνύμενος, τῶν ἀρχαγγελικῶν καὶ νοερῶν τάξεων πρωτεύειν ἐτάχθη παρὰ τοῦ Παντοκράτορος· ὅθεν καὶ τὰς σωτηριώδεις <αὐτοῦ[2]> εὐεργεσίας πρὸς ἅπαντας πλεονάζων καὶ ἐξαπλῶν πολλοῖς ὀπτανόμενος καταφαίνεται. Ὤφθη γὰρ τῷ Ἀβραὰμ καὶ τῷ Λὼτ κατὰ τὴν καταστροφὴν τῶν Σοδόμων· ἐφάνη τῷ Ἰακὼβ τὸν ἀδελφὸν[3] φεύγοντι· προεπορεύετο τῆς παρεμβολῆς τῶν υἱῶν Ἰσραὴλ τῆς Αἰγυπτίων ἐλευθερουμένων κακώσεως· ἐφάνη τῷ Βαρλαὰμ τὸν Ἰσραὴλ ἀπιόντι καταράσασθαι· πρὸς δὲ τὸν Ἰησοῦν τὸν[4] Ναυῆ[5] ἔφη πυθόμενον[6]· « Ἐγὼ ἀρχιστράτηγος δυνάμεως Κυρίου νυνὶ παραγέγονα ». Καὶ πολλὰ ἕτερά ἐστιν ἐν τῇ θεοπνεύστῳ γραφῇ ἱστορούμενα[7] περὶ αὐτοῦ. Διὰ τοῦτο καὶ ἡμεῖς προστάτην αὐτὸν καὶ φύλακα τῆς ζωῆς ἡμῶν προβαλλόμενοι τὴν πάνσεπτον αὐτοῦ πανήγυριν τανῦν ἑορτάζομεν, ἐξαιτούμενοι ταῖς πρεσβείαις αὐτοῦ καὶ ἐν τῷ νῦν αἰῶνι τῶν δυσχερῶν εὑρεῖν ἀπολύτρωσιν καὶ ἐν τῷ μέλλοντι τῆς ἐπουρανίου χάριτος καταξιωθῆναι. — Ματρώνης. — **B** : 1. — Ματρώνης. — **Ba** : 1. — Ματρώνης. — **T** : 1. — **L** : 1 (des. : σύναξις ... ἐν τῇ νέᾳ βασιλικῇ ἐκκλησίᾳ). — **O** : 1. — **C** : 1. — **Cb** : 1. — Ματρώνης. — **Cc** : 1. — Ματρώνης. — **Cd** : 1. — Ματρώνης. — **M** : 1. — **Mv** : 1. — **Mr** : 1.

Nov. 9. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῇ μονῇ αὐτῆς τῇ οὔσῃ πλησίον τῆς μονῆς τοῦ Μανουήλ. — 2. 3. 4. 5. 6. 7. 8. 9. 10. add. : Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῇ μονῇ αὐτῆς τῇ οὔσῃ πλησίον τῆς μονῆς τοῦ Παναγίου. — 11. 12. — **H** : 6. 7. 10. 8. 2. 4. 11. — **P** : 11. 10. 8. 2. et 7 : Ὀνησιφόρου καὶ Πορφυρίου, Χριστοφόρου, Μαύρας καὶ Τιμοθέου· καὶ τὰ ἐγκαίνια τῶν Προτασίου καὶ ἁγίων μαρτύρων Ἀρτέμωνος καὶ Ναρσῆ. — **Da** : 1. 9. 10. 11. — Ὀρέστου (Nov. 10[2]

[1] πεσώται Fa. — [2] *om.* Fa. — [3] τῷ ἀδελφῷ Fa. — [4] τοῦ Fa. — [5] Ναῖ Fa. — [6] πυθόμενος Fa. — [7] ὑστερούμενα Fa.

σασα πολιτείαν, οὐκ ἀφίστατο τῶν ἐκκλησιῶν τοῦ Θεοῦ. Ἔχουσα δὲ τὸν[3] πρὸς Θεὸν αὐτῆς ἔρωτα[4] θερμότερον, παραδίδωσι τὴν θυγατέρα αὐτῆς γνωρίμῳ τινὶ γυναικὶ ὀνόματι Σωσάννῃ· καὶ ἀκούσασα· « Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνη- Matth. 16, 24. » σάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ » καὶ ἀκολουθείτω μοι· » ἐνεδύσατο στολὴν ἀνδρικὴν καὶ ἀπῆλθεν εἰς τὸ τοῦ ὁσίου Βασιανοῦ μοναστήριον ὡς ἐν σχήματι εὐνούχου καὶ συνέβαλλε[5] τοῖς μοναχοῖς. Ὁ δὲ[6] Βασιανὸς γνοὺς τῷ πνεύματι γυναῖκα αὐτὴν εἶναι καὶ παρὰ τοῦ ἀνδρὸς ἐπιζητουμένην, πέμπει αὐτὴν εἰς Ἱεροσόλυμα, εἶτα εἰς Βηρυτόν· καὶ αὖθις ἐλθοῦσαν[7] εἰς Κωνσταντινούπολιν παραδέχεται καὶ προτρέπει μένειν ἐν ἰδιαζούσῃ μονῇ, ἥτις κατ' ἐπώνυμον αὐτῆς μέχρι τοῦ νῦν λέγεται· βιώσασα δὲ περὶ τὰ ἑκατὸν ἔτη σχεδόν, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησε[8].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ὀνησιφόρου καὶ Πορφυρίου, Χριστοφόρου καὶ Μαύρας, Τιμοθέου καὶ Ἀρτέμονος καὶ Ναρσῆ.

3. Καὶ τοῦ ὁσίου Θεοστηρίκτου μοναχοῦ τοῦ ἐν Συμβόλοις.

4. Καὶ μνήμη τοῦ μεγάλου Θεοδοσίου τοῦ βασιλέως ἐν τοῖς Ἁγίοις Ἀποστόλοις.

5. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Νόννου, ὃς κατήχησε τὴν ὁσίαν Πελαγίαν.

6. Καὶ ἀνάμνησις τῆς ὑπεραγίας Θεοτόκου ἐν τῷ Παραδεισίῳ πλησίον τοῦ ἁγίου μάρτυρος Μωκίου.

7. Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου τῶν Προτασίου. Nov. 9.

8. Καὶ μνήμη τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Ἰακώβου τοῦ Ἀλφαίου.

9. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Θεοκτίστης τῆς Λεσβίας. Ἥτις ἦν[1] πόλεως Μιθύμνης[2], τὸν βίον μοναχή. Ἐκ γὰρ νηπίας τῆς[3] ἡλικίας δεδομένη ἦν εἰς παρθενῶνα[4]· εἰς δὲ[3] τὴν πλησίον ἐλθοῦσα κώμην ἀσπασομένη[5] τὴν ἰδίαν ἀδελφήν, ἐν τῇ νυκτὶ[6] ἐπιδραμόντες Κρῆτες, ὧν ἡγεῖτο ὁ Νίσιρις[7], ἐκεῖ[8] πάντας ἐκείνους κἀκείνην συνέλαβον· καὶ προσορμήσαντες ἔωθεν τῇ νήσῳ ταύτῃ καὶ προσαγαγόντες τοὺς αἰχμαλώτους, τὰ τιμήματα διετίθεντο. Ἡ δὲ Θεοκτίστη λαθοῦσα λάθρα πρὸς τὴν | ὕλην χωρήσασα ἀνεύρετος ἦν. Ἔκτοτε οὖν f. 76. ἐκεῖσε μείνασα καὶ λιμῷ καὶ κρύει καὶ καύσωνι πολλῷ προσπαλαίσασα, θερμίοις καὶ λαχάνοις ἀγρίοις τρεφομένη καὶ ὑπ' οὐδενὸς[9] βλεπομένη διήρκεσεν ἐπὶ τριάκοντα πέντε[10] ἔτη, Θεῷ μόνῳ καὶ τῇ πανάγνῳ Θεοτόκῳ προσανέχουσα. Ἐν τούτῳ δὲ τῷ καιρῷ κυνηγός τις θηρεύσας θήραν καὶ ἐν τῷ τῆς Θεοτόκου ναῷ εἰσελθὼν περιτυγχάνει τὴν ἁγίαν[11]· ἥτις τὸν ἐπιδοθέντα αὐτῇ παρὰ τοῦ κυνηγοῦ χιτῶνα ἐπενδυθεῖσα καὶ εἰς ὄψιν αὐτῷ καὶ ὁμιλίαν γενομένη ἅπαντά τε τὰ ἀνωτέρω ῥηθέντα εἰποῦσα καὶ τοῦ θείου σώματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μερίδα κομίσαι αὐτῇ ἀξιώσασα, ἀπηλλάττοντο ἀλλήλων ἑκάτεροι. Ὡς δὲ πάλιν ὁ ἀνὴρ ἐπανῆκε φέρων τὰ θεῖα μυστήρια καὶ αὕτη ἐπευξαμένη μετέλαβεν, εὐχαριστίαν τῷ

— [3] τὸ Sa. — [4] ἔρωτι Sa. — [5] συνέψαλλε Sa. — [6] ὅσιος *add.* Sa. — [7] Sa, ἐλθοῦσα S. — [8] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
9. — [1] ἐκ *add.* Sa. — [2] Μηθύμνης Sa. — [3] *om.* Sa. — [4] ιη' δὲ γενομένη ἔτος ἐξέδραμεν *add.* Sa. — [5] ἀσπασαμένη S. — [6] αὐτῇ δὲ νυκτὶ Sa. — [7] Νίσηρος S, Νήσιρις Sa, Νίσιρις *Vita S. Theoctistae, ap.* Theophilum Ioannu, Μνημεῖα ἁγιολογικά, *pp. 7, 11 et deinceps.* — [8] Sa, ἐκεῖνος S. — [9] ὑπὸ μηδένος Sa. — [10] λ' καὶ γ' Sa, πέντε καὶ τριάκοντα *Vita, l. c., p. 12.* — [11] τῇ ἁγία Sa.

= F). — **Db** : mutil. 9. 10. 11. — **F** : 2 (Ὀνησιφόρου καὶ Πορφυρίου). — 10. 2 (Χριστοφόρου καὶ Τιμοθέου καὶ Μαύρας καὶ Ἀρτέμωνος καὶ Ναρσεῖ). — 3 (Θεοστερίκτου πρεσβυτέρου καὶ μοναχοῦ ἐν Συμβόλοις τοῦ Ὀλύμπου). — 11. 9. — **Fa** : 2 (Ὀνησιφόρου καὶ Μαρτυρίου καὶ Πορφυρίου). — 10. 2 (Χριστοφόρου καὶ Τιμοθέου καὶ Μαύρας καὶ Ἀρτέμονος καὶ Ναρσῆ). — 3. 11. 9. — **B** : 11. 12. — Ὀρέστου. — **Ba** : 11. 12. — Ὀρέστου. — 9 : Θεοκτίστης τῆς Λεσβίας. Ταύτης ὑπῆρχεν ἡ πατρὶς Λέσβος, πόλις Μίθυμνα, ἔχουσα τὸ πολίτευμα μοναδικόν. Αὕτη ἐπὶ νηπίᾳ τῇ ἡλικίᾳ παρὰ τῶν συγγενῶν ἐδόθη εἰς παρθενῶνα· περιεβάλετο οὖν τὸ μοναχικὸν σχῆμα. Δεκαοκτὼ δὲ γενομένη ἐτῶν εἰς τὴν πλησιάζουσαν ἐξέδραμε κώμην, ἀσπασομένη τὴν ἰδίαν ἀδελφήν· Κρῆτες ἐπιδραμόντες τῇ νυκτί, ὧν ἡγεῖτο ὁ Νήσιρις ἐκεῖνος, πάντας ἐκείνους κἀκείνην συνέλαβον[1]· ἕωθεν οὖν προσορμήσαντες[2] τῇ νήσῳ ταύτῃ καὶ προσαγαγόντες τοὺς αἰχμαλώτους τὰ τιμήματα διετίθεντο. Ἡ δὲ Θεοκτίστη λάθρα πρὸς τὴν ὕλην χωρήσασα ἀνεύρετος ἦν· αὕτη οὖν ἔκτοτε ἐκεῖσε μείνασα καὶ λιμῷ καὶ παγετῷ καὶ καύσωνι προσπαλαίσασα, θερμίοις καὶ λαχάνοις ἀγρίοις τρεφομένη καὶ ὑπὸ μηδενὸς ὁρωμένη διήρκεσεν ἐπὶ ἔτη λε' Θεῷ μόνῳ προσομιλοῦσα καὶ τῇ πανάγνῳ Θεοτόκῳ. Τοῦ δὲ λε' χρόνου τελεσθέντος, κατά τινα οἰκονομίαν κυνηγός τις θηρεύσας[3] θήραν εἶτα χωρίσας ἑαυτὸν τῶν ἑταίρων[4] αὐτοῦ καὶ ἀνιχνεύων εἰσῆλθεν ἔν τινι τῆς Θεοτόκου ναῷ ἱστορίας χάριν (ἔρημος γὰρ ἦν ὁ τόπος) καὶ εὐξάμενος καὶ μικρὸν ἀνανεύσας εἶδε κατὰ τὸ δεξιὸν τῆς ἁγίας τραπέζης μέρος ὥσπερ κρόκην ὑπ'[5] ἀνέμου ῥιπιζομένην ἢ ὡς ἱστὸν ἀράχνης· ὡς δὲ προβὰς διαγνῶναι τὸ γινόμενον ἠβουλήθη, ἤκουσε φωνῆς λεγούσης· « Στῆθι, ἄνθρωπε, καὶ μὴ πλησιάσῃς· αἰσχύνομαι γὰρ γυνὴ οὖσα θεαθῆναί σοι. » Αὐτὸς δὲ καταπλαγεὶς καὶ τρόμῳ ληφθεὶς ἐβούλετο φυγεῖν· ἀνωρθοῦντο γὰρ αὐτοῦ τῆς κεφαλῆς αἱ τρίχες· μόλις δὲ εἰς ἑαυτὸν γενόμενος, ἠρώτα, τίς καὶ πόθεν εἴη. Ἡ δέ· « Ῥῖψον, ἔφη, τὸ χιτώνιον, δέομαί σου· καὶ » καλυψαμένη λέγειν οὐκ ὀκνήσω. » Ὁ δὲ ποιήσας, ἡ δὲ τοῦτο περιεβάλετο, τῷ σταυρῷ τειχίσασα ἐφάνη τῷ κυνηγέτῃ, τὸ μὲν εἶδος γυνή τὸ δὲ φαινόμενον ὑπὲρ ἄνθρωπον, ἡ θρὶξ λευκή, πρόσωπον μέλαν, δέρματι μόνῳ συνέχουσα τὴν τῶν ὀστῶν ἁρμονίαν, τὸ δὲ ὅλον ἦν σκιά. Αὕτη ἐξειποῦσα τὰ ἀνωτέρω λεχθέντα, προσέθηκε καὶ ταῦτα, ἐξειποῦσα τῷ κυνηγέτῃ καὶ ἀξιοῦσα κομίσαι μερίδα τοῦ Nov. 9.

[1] συνέλαβεν Ba. — [2] προσορμήσαντι Ba. — [3] ὑπερεύσας Ba. — [4] ἑτέρων Ba. — [5] ὑπὲρ Ba.

Nov. 9. Θεῷ ἀναπέμψασα, αὐτὸς ἀπελθὼν καὶ θηρεύσας καὶ ταχὺ πάλιν πρὸς τὸ ποθούμενον ἐπανελθών, εὗρεν αὐτὴν κειμένην νεκράν. Καὶ ὡς ἦν αὐτῷ δυνατὸν ὀρύξας τὴν γῆν καὶ πολλὰ δεηθεὶς κατέθηκε τὴν μακαρίαν ἐκείνην καὶ ἀξιέπαινον γυναῖκα.

10. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Εὐστολίας. Αὕτη ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαυρικίου, γονέων εὐσεβῶν καὶ τὴν Ῥώμην οἰκούντων, ἐφ' ἁπαλῇ[1] δὲ τῇ ἡλικίᾳ σεμνείῳ γυναικῶν ἑαυτὴν ἐκδοῦσα, νηστείαις καὶ ἀγρυπνίαις ἐσχόλαζε. Θείῳ δὲ πυρπολουμένῃ ἔρωτι καταλιποῦσα τὴν Ῥώμην, τὴν Κωνσταντινούπολιν καταλαμβάνει· καὶ περιελθοῦσα τοὺς σεβασμίους οἴκους καὶ τὸν πόθον ἀφοσιωσαμένη, Σωπάτραν τὴν τοῦ Μαυρικίου θυγατέρα πρὸς τὸν ἐν Βλαχέρναις τῆς Θεοτόκου ναὸν ἀπιοῦσαν ὁρᾷ· καὶ ἐπεὶ ἀρετὴ κρυβῆναι οὐ δύναται, ἱκέτευεν ἡ Σωπάτρα τὴν μακαρίαν Εὐστολίαν ἔχειν αὐτὴν μητέρα πνευματικὴν καὶ σώματος καὶ ψυχῆς φύλακα· καὶ δὴ καταλιποῦσα τὴν βασιλείαν, τὸν μονήρη βίον ὑπέδυ καὶ πρὸς ἀγῶνας καὶ πόνους ἐχώρησεν. Αἰτησαμένη δὲ τὸν πατέρα καὶ βασιλέα τόπον τινὰ ἐπιτήδειον καὶ δειμαμένη οἶκον εὐκτήριον καὶ οἰκήματα,
f 76v. κατασκηνοῖ ἐκεῖσε ἅμα τῇ ἀοιδίμῳ Εὐστολίᾳ· | πολλαὶ δὲ πρὸς αὐτὰς φοιτῶσαι παρθένοι εὐσεβεῖς σὺν αὐταῖς τὸν σκληρὸν καὶ ἐπίπονον βίον μετήρχοντο. Ἡ δὲ μακαρία Εὐστολία πλείστοις ἔτεσιν ἀγωνισαμένη καὶ πολλοῖς αἰτία σωτηρίας γενομένη, μετ' εἰρήνης πρὸς Κύριον ἐξεδήμησε, διάδοχον καταλιποῦσα τὴν μακαρίαν Σωπάτραν τὴν βασίλισσαν· ἥτις τὰ ὅμοια τῇ πνευματικῇ μητρὶ ἐπαγωνισαμένη καὶ εἰς ἄκραν ἀρετὴν[2] φθάσασα πρὸς Κύριον ἐξεδήμησεν[3].

11. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου τοῦ ἐν Θεσσαλονίκῃ. Οὗτος ὁ ἅγιος ἦν ἐπὶ Μαξιμιανοῦ[1] βασιλέως ἐκ τῆς Θεσσαλονικέων ὁρμώμενος. Παραστὰς οὖν τῷ αὐτοῦ βήματι, τῷ τοῦ Χριστοῦ πόθῳ πυρωθεὶς ἐφήλατο[2] καὶ λὰξ τὴν τράπεζαν πατάξας, ἔνθα αἱ σπονδαὶ τῶν εἰδώλων ἔκειντο, ταύτας ἀνέτρεψε καὶ ἐξέχεεν. Ὅθεν ὁ βασιλεὺς ἐπὶ τούτῳ ἐκκαυθεὶς τῇ ὀργῇ, τὴν διὰ ξίφους αὐτὸν προστάττει ὑπομεῖναι τελευτήν· καὶ οὕτως ἀποτμηθείς, τὴν μακαρίαν αὐτοῦ ψυχὴν τῷ Θεῷ ἐπαφίησι.

12. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀντωνίνου. Οὗτος ἦν ἐκ τῆς δευτέρας τῶν Σύρων ἐπαρχίας, λιθοτόμος τὴν τέχνην, ἐκ κώμης Ἀριβαζοῦ. Παραγενόμενος δὲ εἰς τόπον τὸν οὕτω λεγόμενον Καπρουάγνιδον, καὶ ἐν αὐτῷ τοὺς εἰδωλολάτρας καταλαβὼν ἑορτὴν τοῖς εἰδώλοις τελοῦντας, τὰ ἐν τῷ ναῷ συνέτριψεν εἴδωλα. Εἶτα κρατηθεὶς καὶ τυφθεὶς ἰσχυρῶς, ἀπῆλθεν εἰς Ἀπάμειαν[1] τῆς Συρίας· καὶ δεηθεὶς τοῦ ὁσιωτάτου ἐπισκόπου λαβεῖν ἐξουσίαν τοῦ κτίσαι ναὸν ἐπ' ὀνόματι τῆς ἁγίας Τριάδος, ἤρξατο κτίζειν· ὃ μαθόντες οἱ ἐκ τῆς αὐτῆς αὐτῷ χώρας ὄντες νυκτὸς ἐπιθέντες[2] ξίφεσι μεληδὸν αὐτὸν κατέκοψαν· καὶ οὕτως τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

10. — [1] *corr.*, *prius* ἁπλῇ Sa. — [2] ἄκρον ἀρετῆς Sa. — [3] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
11. — [1] τοῦ *add.* Sa. — [2] ἐφήλλατο Sa.
12. — [1] Ἀπάμιαν S. — [2] ἐπιθέμενοι αὐτῷ τοῖς Sa.

Nov. 9. τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ. Ὡς δὲ πάλιν ὁ ἀνὴρ ἐπανῆκε φέρων τὰ θεῖα μυστήρια, αὕτη ἐπευξαμένη μετέλαβεν, εὐχαριστίαν τῷ Θεῷ ἀναπέμψασα. Αὐτὸς δὲ ἀπελθὼν καὶ θηρεύσας καὶ ταχὺ πάλιν πρὸς τὸ ποθούμενον ἀνελθών, εὗρεν αὐτὴν κειμένην νεκράν. Καὶ ὡς ἦν δυνατὸν ὀρύξας τὴν γῆν καὶ πολλὰ δεηθεὶς κατέθηκε τὴν μακαρίαν ἐκείνην καὶ ἀξιέπαινον γυναῖκα. — 10: Εὐστολίας. Αὕτη ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαυρικίου, γέννημα καὶ θρέμμα τῆς Ῥωμαίων πόλεως τυγχάνουσα καὶ γονέων εὐσεβῶν καὶ πιστῶν καὶ ἐν αὐταρκίᾳ βιούντων. Ἥτις ἐξ ἁπαλῶν ὀνύχων νηστείαις καὶ εὐχαῖς σχολάζουσα καὶ ἑαυτὴν τῷ Θεῷ προσέχουσα, πάντα καταλιποῦσα ἑνὶ[6] σεμνείῳ ἐξέδωκε γυναικῶν παρθενίᾳ διαλαμπουσῶν καὶ συναρίθμιος αὐταῖς γενομένη ἐπὶ πλεῖον ἐπηύξησε τοὺς θείους καρπούς· αὕτη θείῳ ἔρωτι πυρπολουμένη καὶ μὴ στέγουσα, καταλιποῦσα τὴν Ῥωμαίων, τὴν Κωνσταντινούπολιν καταλαμβάνει. Καὶ περιερχομένη τοὺς θείους καὶ σεβασμίους οἴκους καὶ μάλιστα τὸν ἐν Βλαχέρναις, ὃν κατησπάζετο πόθῳ πολλῷ, μιᾷ τῶν ἡμερῶν τὴν πρὸς τοῦτον τὸν θεῖον νεὼν ἐξανύουσα ὁδὸν παρασκευῆς ὀψὲ ἐν συντυχίᾳ γίνεται νεάνιδός τινος τοὔνομα Σωπάτρας, ἥτις ἦν θυγάτηρ Μαυρικίου τοῦ βασιλέως. Αὕτη περιπλακεῖσα τῇ Εὐστολίᾳ καὶ κατασπαζομένη, ἱκέτευεν ἔχειν αὐτὴν μητέρα πνευματικὴν καὶ σώματος καὶ ψυχῆς φύλακα. Καὶ καταλαβοῦσα τὰ βασίλεια τὸν μονήρη βίον ἐπέβη καὶ πρὸς ἀγῶνας καὶ πόνους ἐχώρησε καὶ τῆς μακαρίας Εὐστολίας ἦν ἀχώριστος. Αἰτησαμένη δὲ τόπον τινὰ[7] ἐπιτήδειον παρὰ τοῦ ταύτης πατρὸς καὶ βασιλέως καὶ περιποιησαμένη οἴκημά τι, ἐν αὐτῷ κατασκηνοῖ ἅμα τῇ ἀοιδίμῳ Εὐστολίᾳ. Πολλαὶ γὰρ πρὸς αὐτὰς φοιτήσασαι παρθένοι εὐσεβεῖς σὺν αὐταῖς τὸν σκληρὸν καὶ ἐπίπονον βίον μετήρχοντο. Ἡ δὲ μακαρία Εὐστολία πλείστοις ἔτεσιν ἀγωνισαμένη καὶ πολλοῖς αἴτιος σωτηρίας γενομένη[8] μετ' εἰρήνης πρὸς Κύριον ἐξεδήμησεν, τὴν τῶν ἱαμάτων χάριν παρὰ Θεοῦ λαβοῦσα καὶ πᾶσι τοῖς χρῃζουσι παρεχομένη, διάδοχον καταλιποῦσα τὴν μακαρίαν Σωπάτραν τὴν βασίλισσαν· ἥτις τὰ ὅμοια τῇ πνευματικῇ μητρὶ ἀγωνισαμένη καὶ εἰς ἄκραν ἀρετῆς φθάσασα πρὸς Κύριον ἐξεδήμησεν. — **T** : 1. — **L** : 1. 6. 7. 10. 8. 2 (... Μαύρου ...). — 3. 11. — **O** : 1. 9. 10. — **C** : 1 (diem mensis 9 manus recens scripsit). — 10. (it.). — 8. 2 (om. Μαύρας, Τιμοθέου). — 3. 4. 11. — **Cb** : 10. 8. 2. 3. 4. 11. — **Cc** : 10. 8. 2. 3. 4. 11. — **Cd** : 10. 8. 2. 3. 4. 11. — **M** : 1. 9. 10. 12. 2 (Χριστοφόρος καὶ Μαῦρα). — Ὁ ὅσιος Ἰωάννης ὁ διὰ τὸ βραχὺ τῆς ἡλικίας μετονομασθεὶς Κολοβὸς ἐν εἰρήνῃ τ. — Ὁ ὅσιος Ἑλλάδιος[9] ἐν εἰρήνῃ τ. — **Mv** : 2 (Ὀνησιφόρου καὶ Πορφυρίου). — 1. 9. 10. — 2 (Χριστοφόρος καὶ Μαῦρα). — Ἰωάννης. — Ἑλλάδιος[9]. — **Mr** : 2 (Ὀνησιφόρου καὶ Πορφυρίου). — 1. 9.

— [6] ἐν Ba. — [7] ἐπί τινα *add.* Ba. — [8] γινομένη Ba. — [9] Ἑλάδιος M, Mv.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι'.

1. Ἄθλησις τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα, Ὀλυμπᾶ, Ῥοδίωνος, Σωσιπάτρου, Τερτίου[1], Ἐράστου καὶ Κουάρτου. Nov. 10.
Τούτων τῶν ἁγίων ἀποστόλων[2] ὁ μὲν Ὀλυμπᾶς καὶ Ῥοδίων ἀκολουθοῦντες τῷ ἁγίῳ ἀποστόλῳ Πέτρῳ ἀμφότεροι ἐν Ῥώμῃ τῇ πόλει[3] ὑπὸ Νέρωνος τὰς κεφαλὰς ἀπετμήθησαν. Rom. 16, 21.
Ὁ δὲ Σωσίπατρος, οὗτινος ἐν τῇ πρὸς | Ῥωμαίους ἐπιστολῇ ὁ ἅγιος ἀπόστολος μέμνηται Παῦλος, ἐπίσκοπος Ἰκονίου γενόμενος, ἐν εἰρήνῃ ἐτελειώθη. Rom. 16, 22.
Ὁ δὲ Τέρτιος, ὁ καὶ τὴν πρὸς Ῥωμαίους γράψας ἐπιστολὴν ὑπὸ τοῦ ἁγίου Παύλου ἐκδοθεῖσαν, μετὰ Σωσίπατρον δεύτερος ἐπίσκοπος Ἰκονίου γενόμενος, πρὸς[4] Κύριον ἐξεδήμησε. Ὁ δὲ Ἔραστος, οὗ καὶ αὐτοῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ μέμνηται ὁ ἅγιος Παῦλος, οἰκονόμος τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας γεγονὼς καὶ μετὰ ταῦτα ἐπίσκοπος Πανεάδος, ἐν εἰρήνῃ ἐτελειώθη. Rom. 16, 24.
Ὁ δὲ Κούαρτος ἐπίσκοπος τῆς πόλεως Βηρυτοῦ γενόμενος καὶ πολλὰ παθὼν ὑπὲρ τῆς εὐσεβείας καὶ πλείστους τῶν ἑλλήνων ἐπιστρέψας ἐπὶ τὸν Κύριον, τέλει[5] τοῦ βίου ἐχρήσατο.
f. 77.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ὀρέστου τοῦ ἐν τῇ Βάτῳ. Οὗτος ὑπῆρχεν ἐκ τῆς πόλεως Τυάνων[1], ἤθλησεν δὲ ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξίμου ἄρχοντος Καππαδοκίας. Διὰ γοῦν τὴν εἰς Χριστὸν πίστιν παραστὰς τῷ ἄρχοντι, ῥάβδοις τύπτεται κατὰ τοῦ νώτου καὶ τῆς γαστρὸς καὶ ὀβελίσκοις πεπυρωμένοις τὰ νῶτα διακαίεται καὶ ἅλμῃ σὺν ὄξει τὰς πληγὰς ἀνατρίβεται καὶ ἐν τῷ ναῷ ἀχθεὶς εὐχῇ μόνῃ καταβάλλει τὰ εἴδωλα· καὶ ἑπταημέρῳ[2] λιμῷ παραδίδοται καὶ ἥλοις τοὺς πόδας καὶ τὰς πλευρὰς διαπείρεται καὶ ἵππῳ ἀγρίῳ προσδεθεὶς ἐλαύνεται μίλια κδ' κατὰ πετρῶν καὶ δυσβάτων τόπων· καὶ καταφθαρεὶς τὰ μέλη καὶ τὰ ὀστᾶ συντριβεὶς τὸ πνεῦμα τῷ Κυρίῳ ἀπέδωκε· τὸ δὲ περίλοιπον[3] αὐτοῦ σῶμα τῷ ποταμῷ ἐναπερρίφη[4].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς

1. — [1] *om. in lemmate* Sa. — [2] τῶν ἁγίων ἀποστόλων *om.* Sa. — [3] τῇ πόλει *om.* Sa. — [4] *corr. in marg.* Sa. — [5] Sa, τέλος S.
2. — [1] χώρας Καππαδοκίας *add.* Sa. — [2] ἑπτὰ ἡμέρας Sa. — [3] περίλειπον S, λοιπὸν Sa. — [4] τελεῖται δὲ κτλ. *add.* Sa *inter* Synaxaria selecta.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. add. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι πλησίον τοῦ Λεομακελλίου. — 3. 4. 5. 6. — **H** : Ἀντωνίου (Nov. 9^{12}). — **P** : Ἀντωνίου. — 6 (om. Ὀρέστου). — Μνήμη Θεοδοσίου τοῦ μεγάλου βασιλέως (Nov. 9^{4}). — 2. — **Da** : Ἀντωνίου. — 3. — Θεοδώρου ἡγουμένου μονῆς τῶν Στουδίου (Nov. 11^{2} = Ba). — **Db** : 2. — Ἀντωνίου. — 3. — Μηνὰ (Nov. 11^{1}). — Βίκτωρος. — Στεφανίδος. — Βικεντίου (Nov. 11^{1}). — **F** : 1. 2 : Ὀρέστου τοῦ ἐν τῇ Βάτῳ. Ὃς ἤθλησεν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξίμου ἄρχοντος Καππαδοκίας. Οὗτος ὁ ἅγιος Καππαδόκης ὢν τὸ γένος, τὴν πίστιν χριστιανός, τὴν ἐπιστήμην ἰατρός, παραστὰς Μαξίμῳ τῷ ἄρχοντι ῥάβδοις τύπτεται σφοδρῶς κατὰ τοῦ νώτου καὶ τῆς γαστρός, εἶτα ὀβελίσκοις πεπυρακτωμένοις τὸν νῶτον κατακαίεται καὶ ἅλμῃ σὺν ὄξει δριμυτάτῳ τὰς πληγὰς ἀνατρίβεται· ἔπειτα βίᾳ ἀχθεὶς ἐν τῷ ναῷ ὡς προσκυνήσων, διὰ μόνης προσευχῆς καταβάλλει τὰ εἴδωλα. Διὸ καὶ λιμῷ παραδίδοται ἡμέρας ἑπτά· μετὰ ταῦτα ἑλκυσθεὶς ἥλοις τοὺς πόδας καὶ τὰς πλευρὰς διαπερονᾶται καὶ ἵππῳ ἀγρίῳ προσδεθεὶς ἐλαύνεται μίλια κδ' κατὰ πετρῶν καὶ δυσβάτων τόπων· καὶ καταφθαρεὶς τὰ μέλη καὶ τὰ ὀστᾶ καταθραυσθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρέδωκεν. Τὸ δὲ περίλοιπον αὐτοῦ σῶμα τῷ ποταμῷ ἐναπερρίφη. — 6 (om. Ὀρέστου). — Θεοδοσίου. — Ἀντωνίου. — 3. — **Fa** : 1. 2. 6 (Ἥραιος καὶ Καλλιοπή). — Θεοδοσίου. — Ἀντωνίου. — 3. — **B** : 1. — **Ba** : 1. — Μαρτίνου ἐπισκόπου Φραγγίας (Nov. 12^{3}). — **T** : 1 2. — **L** : Ἀντωνίνου. — 6. — Θεοδώρου ὁμολογητοῦ τῶν Στουδίων (Nov. 11^{3}). — **O** : Τοῦ ὁσίου πατρὸς ἡμῶν Νείλου (Nov. 12^{2}). — **C** : Ἀντωνίνου. — 6. 2. 1. 5 (Τιμοθέου καὶ Μαύρας (cf. Nov. 9^{2}). — **Cb** : 3. — Ἀντωνίνου. — 6. 2. 1. — **Cc** : Ἀντωνίνου. — 6. 2. 1. 5 (Τ. κ. Μ.). — **Cd** : Ἀντωνίνου. Οὗτος ὁ ἅγιος μάρτυς Ἀντωνῖνος ὑπῆρχεν ἐκ τῆς τῶν Σύρων χώρας, λιθοτόμος τὴν τέχνην· ἰδὼν δὲ τοὺς ἕλληνας ἀπερχομένους εἰς τὸν ναὸν τῶν εἰδώλων καὶ θύοντας[1] τοῖς ξοάνοις, παρήνεσεν αὐτοῖς ἀποστῆναι αὐτῶν. Ὡς δὲ οὐκ εἰσηκούσθη, λυπηθεὶς ἀνεχώρησεν εἰς ἔρημον τόπον καὶ εὑρίσκει δοῦλον τοῦ Θεοῦ ἀναχωρητὴν ὀνόματι Θεότιμον, μεθ' οὗ συνδιατρίψας ἔτη δύο καὶ λαβὼν τὰς εὐχὰς αὐτοῦ, κατῆλθε πάλιν πρὸς τὸν πεπλανημένον λαὸν τοῦ χωρίου αὐτοῦ· καὶ εὑρὼν τοὺς ἕλληνας ἑορτὴν ἐπιτελοῦντας τοῖς δαίμοσι, συνέτριψε πάντα τὰ εἴδωλα· εἶτα κρατηθεὶς καὶ τυφθεὶς ἰσχυρῶς, ἀπῆλθεν εἰς Ἀπάμειαν τῆς Συρίας· καὶ δεηθεὶς τοῦ ὁσιωτάτου μητροπολίτου λαβεῖν ἐξουσίαν τοῦ κτίσαι ναὸν τῆς ἁγίας Τριάδος ἤρξατο κτίζειν. Καὶ τοῦτο μαθόντες οἱ συγχωρῖται αὐτοῦ, νυκτὸς ἐπιθέντες τοῖς ξίφεσι μεληδὸν κατέκοψαν· καὶ οὕτως παρέδωκε τὸ πνεῦμα. — 6. 2. 1. 5 : Τιμοθέου καὶ Μαύρας. Οὗτος ὑπῆρχεν ἀπὸ κώμης Παναπέων, ἀναγνώστης τὴν τάξιν, διδάσκων δὲ τὴν εὐσέβειαν καὶ τὸν Χριστὸν κηρύττων Θεόν, κρατηθεὶς προσήχθη Ἀριανῷ τῷ τῆς Θηβαΐδος ἄρχοντι, γάμῳ[2] προσομιλήσας· καὶ ἀναγκασθεὶς θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθεὶς σίδηρα πεπυρωμένα εἰς τὰ ὦτα δέχεται καὶ ἐκ τῆς σφοδροτάτης ἀτμίδος καὶ τοῦ καπνοῦ αἱ κόραι τῶν ὀφθαλμῶν αὐτοῦ ἐκπεπηδήκασιν. Καὶ τότε δεσμεῖται τοὺς ἀστραγάλους καὶ τὰς χεῖρας ὀπίσω καὶ δέχεται χαμὸν κατὰ τοῦ στόματος καὶ κρεμᾶται ἐπὶ κεφαλῆς. Ὡς δὲ ηὐχαρίστει, κελεύει ὁ ἡγεμὼν ἐναχθῆναι τὴν γυναῖκα αὐτοῦ Μαύραν καὶ λέγει αὐτῇ· « Εἰ μὴ βούλει παθεῖν τὰ ὅμοια, προσελθοῦσα πεῖσον τὸν ἄνδρα σου ἵνα μὴ κακῶς

[1] θύοντα Cb. — [2] *supple v. c.* ἄρτι.

Nov. 10. ἡμῶν Μαρτίνου ἐπισκόπου Ταρακίνης[1]. Οὗτος ὑπῆρχεν ἀπὸ Σαβαρίας[2] τῆς Πανονίας[3], ἐπίσημος τὸ γένος καὶ παρὰ τοῖς Ἰλλυριοῖς μέγας γνωριζόμενος, ἀποστολικοῦ ἐμπρέπων ἀξιώματος· ἐπιβουλευθεὶς δὲ παρὰ τῶν τὰ Ἀρείου φρονούντων καὶ πολλάκις δημοσίᾳ τυφθεὶς ἀπηλάθη· καὶ εἰς Μεδιόλανα ἀνελθὼν τὰ αὐτὰ πέπονθεν ὑπὸ Αὐξεντίου ἐπισκόπου, Ἀρειανοῦ καὶ αὐτοῦ ὑπάρχοντος· ὅθεν ἀναγκασθεὶς Γαλλαρίαν[4] τὴν νῆσον καταλαμβάνει, ἔρημον οὖσαν καὶ ἀοίκητον, τῷ Τυρρηνικῷ[5] πελάγει ἐγγίζουσαν, ῥίζαις μόναις[6] βοτανῶν ἀρκούμενος· ὅθεν ὕστερον καὶ ἐπισκοπεῖν[7] ἐπετράπη τὴν ἐν Ταρακίναις ἐκκλησίαν. Ἐπὶ τοσοῦτον δὲ τῇ φιλοπτωχείᾳ ἐξήστραψεν, ὥστε πρώην μὲν πάντα
f. 77v. πένησι διαδιδόναι[8], μετὰ δὲ ταῦτα, εἰ τύχοι[9] | αὐτῷ ἑνὶ περιβολαίῳ σκέπεσθαι καὶ ῥιγῶντα ἕτερον θεάσασθαι, τοῦτο ἀπὸ τῶν γονάτων διακόπτειν καὶ τῷ δεομένῳ ἐπιδιδόναι. Ἀλλὰ καὶ νεκρὸν ἰδὼν[10] ἐκκομιζόμενόν ποτε, ἐπεὶ συκοφάντης τις θάπτεσθαι αὐτὸν οὐ συνεχώρει λέγων χρεωστεῖσθαι παρ' αὐτοῦ τριακοσίους χρυσίνους, ἐκεῖνον μὲν ἀνέστησεν, τοῦτον δὲ ψεύστην ἐλεγχθέντα ἀποθανεῖν ἀντ' αὐτοῦ ἐκέλευσεν. Οὕτως οὖν θεαρέστως καὶ ἐπὶ τοιούτοις θαύμασι βιώσας, ἐν εἰρήνῃ ἐκοιμήθη.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραῒμ τοῦ ὁμολογητοῦ, ἐπισκόπου Οὐνίας.

5. Καὶ μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν[1] Μαύρας.

6. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Νηρέως, Καλλιοπίου καὶ Ὀρέστου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

Nov. 11. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Μηνᾶ, Βίκτωρος καὶ Βικεντίου. Τούτων ὁ μὲν ἅγιος μεγαλομάρτυς Μηνᾶς ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ τῆς Αἰγύπτου[1] χώρας, στρατιώτης ὢν τοῦ νουμέρου τῶν λεγομένων Ῥουτιλιακῶν[2] ὑπὸ Ἀργυρίσκον ἡγεμόνα, ἐν Κοτυαείῳ πόλει[3] Φρυγίας. Γνωσθεὶς δὲ χριστιανὸς εἶναι, τύπτεται σφοδρῶς καὶ ξέεται καὶ μετὰ ταῦτα πυρὶ καταφλέγεται καὶ σύρεται ἐπάνω τριβόλων ὀξέων· εἶτα τὴν διὰ ξίφους δέχεται τελευτήν. Ὁ δὲ ἅγιος Βίκτωρ ὑπῆρχεν ἐπὶ Ἀντωνίνου βασιλέως καὶ Σεβαστιανοῦ δουκὸς ἐν Ἰταλίᾳ· κρατηθεὶς δὲ καὶ ἀναγκασθεὶς

3. — [1] S, Sa, *et celeri omnes*. — [2] Σαμαρείας S, Sa. — [3] Πανονίας S. — [4] S, Sa, Gallinaria insula, *Vita S. Martini*, 6. — [5] τυραννικῷ Sa. — [6] μόνες S, μόνον Sa. — [7] ἐπισκοπὴν S. — [8] διαδοῦναι Sa. — [9] εἰ τύχη S, Sa. — [10] εἰδὸν S.
5. — [1] ἡμῶν μητρὸς Sa.
1. — [1] τῆς τῶν Αἰγυπτίων Sa. — [2] Ῥουτηλιακῶν S. — [3] τῆς *add*. Sa.

Nov. 10. » ἀποθάνῃ. » Ταῦτα εἰπὼν παρέπεισεν αὐτὴν καὶ ἀπῆλθεν. Ὡς δὲ ἤρξατο ἡ Μαύρα λέγειν τῷ ἁγίῳ τοὺς λόγους τοῦ τυράννου, διεπρίετο ὁ Τιμόθεος καὶ βδελυξάμενος αὐτὴν εἶπεν· « Ὄντως ἐκ τοῦ οἴκου » ἐξερχομένη τὸν διάβολον μετὰ σοῦ παρέλαβες· οὐκ αἰσθάνῃ ἡ ἀθλία, τί μοι συμβουλεύῃ· ἀνθ' ὧν ἔδει » καὶ σὲ ὑπὲρ Χριστοῦ ἀποθανεῖν, ἵνα σὺν ἐμοὶ ζήσῃς; » Ἡ δὲ ἀνανήψασα, τρέχει καὶ λέγει τῷ τυράννῳ· « Πρόσθες κἀμέ, τύραννε, τῷ ἀνδρί μου, κἀγὼ χριστιανή εἰμι καὶ σὺν αὐτῷ πιστεύω τῷ » Χριστῷ. » Κελεύει οὖν τὰς τρίχας τῆς κεφαλῆς ἐκτῖλαι καὶ τοὺς δακτύλους τῶν χειρῶν ἐκκοπῆναι καὶ εἰς λέβητα κοχλάζοντα ἐμβληθῆναι. Ὡς δὲ ἑώρα αὐτὴν μὴ καιομένην, νομίσας μὴ καλῶς ὑποκαῆναι τὸν λέβητα, προσελθὼν λέγει· « Ῥᾶνόν μοι ἐξ αὐτοῦ κατὰ χειρῶν. » Ἡ δὲ ἐπέχεε καὶ εὐθέως ἀπεδάρη τὸ δέρμα. Ὀρτισθεὶς δὲ προστάττει ἀνθράκων πληρωθῆναι τὸ στόμα. Ἀπορῶν δὲ ἐπὶ τῇ ὑπομονῇ τῶν ἁγίων, ἐκέλευσεν αὐτοὺς σταυρωθῆναι ἀπέναντι ἀλλήλων· καὶ διεκαρτέρησαν ἐπὶ τὸν σταυρὸν ζῶντες μέχρις ἡμερῶν ἐννέα. Οὐ γὰρ ἄλλο τι ἐποίησεν αὐτοῖς πρὸς τὸ τάχιον ἀποθανεῖν, ἀλλ' ἢ μόνον προσέδησεν· ἕως οὖν ἠδύναντο λαλεῖν, ἀλλήλους παρεθάρρυνον. Τότε δὴ λέγεται τὴν Μαύραν ἐξειπεῖν τῷ Τιμοθέῳ πειρασθεῖσαν· « Εὔξαι ὑπὲρ ἐμοῦ, κύριέ μου, ὅτι ὁ διάβολος λογισμοῖς ἐκθλίβει με. » Ὁ δὲ σὺν δάκρυσιν εὐξάμενος, ἠλευθέρωσεν αὐτὴν τοῦ λογισμοῦ. Ἡνίκα δὲ ἐκλείποντες οὐκ ἠδύναντο λαλεῖν, κατὰ διάνοιαν προσηύχοντο, παρεστώτων καὶ τῆς μητρὸς τῆς Μαύρας καὶ τοῦ πατρὸς Τιμοθέου πρεσβυτέρου ὄντος καὶ κλαίοντος· καὶ οὕτως ἐτελειώθησαν. — **M** : 2. — Ὀνησιφόρου καὶ Πορφυρίου (Nov. 9[2]). — Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἀοιδίμου Λαζάρου. — Θεοστερίκτου (Nov. 9[3]). — Νόννου (Nov. 9[3]). — 1 (om. Τερτίου). — 3. — Τοῦ ἁγίου ἱερομάρτυρος Μίλου (Nov. 13[2]). — **Mv** : 2. — Θεοστερίκτου. — Νόνου. — 1 (om. Τερτίου). — 3. — Μίλου. — Καλλιοπίου, Νίρου καὶ Ὠρίονος. — **Mr** : 1. 2.

Nov. 11. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1. — Ἰωάννου ἀρχιεπισκόπου Ἀλεξανδρείας (Nov. 12[1]). — 2. — **P** : 1. — Ἰωάννου ἀρχιεπισκόπου Ἀλεξανδρείας. — 2. — **Da** : 1 (= F). — **Db** : 2. — **F** : 1 : Μηνᾶ. Οὗτος ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, χώρας Αἰγυπτίων[1] ὁρμώμενος. Ἐστρατεύετο δὲ ἐν τοῖς νουμέροις τοῖς λεγομένοις Ῥουτιλιακοῖς[2] ὑπὸ Ἀργυρίσκῳ ἡγεμόνι ἐν τῷ Κοτυαείῳ Φρυγίας Σαλουταρίας[3]. Μὴ ἀνεχόμενος δὲ καθορᾶν τὴν τῶν εἰδώλων πλάνην παρρησιαζομένην, εἰς τὸ ὄρος ἀνῆλθεν νηστείαις αὐτὸν καθαίρων καὶ προσευχαῖς. Ἱκανῶς δὲ στομώσας ἑαυτὸν καὶ τῷ θείῳ πόθῳ τὴν ψυχὴν ἀναφλέξας, κατελθὼν ἐκ τοῦ ὄρους καὶ στὰς ἐν μέσῳ τῶν εἰδωλολατρῶν, τὸν Χριστὸν ἀνεκήρυττεν· ὅθεν αἰκισθεὶς καὶ τριχίνοις ὑφάσμασι τὰς σάρκας καταξανθεὶς καὶ καυτῆρσι προσομιλήσας πυρὸς καὶ τριβόλοις, ἐν τῷ ἀφειδῶς κατὰ γῆς ἕλκεσθαι ἅπαν τὸ σῶμα διαλωβηθείς, τὴν διὰ ξίφους ἐδέξατο τελευτήν. — Βίκτωρος. Οὗτος ἤθλησεν ἐπὶ Ἀντωνίνου[4] βασιλέως Ῥωμαίων καὶ Σεβαστιανοῦ δουκὸς ἐν τῇ Ἰταλίᾳ. Ἀναγκασθεὶς γὰρ τὸν Χριστὸν ἀρνήσασθαι καὶ μὴ πεισθείς,

[1] Ἐγυπτίων F. — [2] Ῥουταλιακοῖς F. — [3] ἀλουταρίας F. — [4] Ἀντωνίου F.

ἀρνήσασθαι τὸν Χριστὸν καὶ μὴ πεισθεὶς ἐξαρθροῦται τοὺς δακτύλους καὶ βάλλεται εἰς κάμινον· εἶτα ποτίζεται δηλητήριον φάρμακον παρὰ μάγου καὶ μηδὲν ἀδικηθεὶς ποιεῖ τὸν μάγον χριστιανόν· ὀρυχθεὶς δὲ τοὺς ὀφθαλμοὺς τὴν κεφαλὴν ἀποτέμνεται. Ἡ δὲ ἁγία Στεφανὶς ὁρῶσα ταῦτα καὶ μακαρίσασα τὸν ἅγιον ἐκρατήθη· καὶ δεθεῖσα δυσὶ φοίνιξιν ἐπικλιθεῖσιν ἀλλήλοις, εἶτα ἀπολυθεῖσι, διεμερίσθη εἰς δύο. Ὁ δὲ ἅγιος Βικέντιος κατ' αὐτὴν τὴν ἡμέραν κρατηθεὶς ὡς χριστιανὸς ἐν Αὐγουστίᾳ τῇ πόλει παρὰ τοῦ τῆς αὐτῆς πόλεως ἄρχοντος, τὴν κεφαλὴν ἀπετμήθη. Τελεῖται δὲ ἡ σύναξις τοῦ ἁγίου μάρτυρος Μηνᾶ[5] ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι πλησίον τῆς Ἀκροπόλεως· ἡ δὲ τοῦ ἁγίου μάρτυρος Βίκτωρος καὶ Βικεντίου ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι ἐν τῷ Γαϊτανῷ. Nov. 11.

| **2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου ἡγουμένου[1] τῶν Στουδίου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Καβαλλίνου[2] ἐν Κωνσταντινουπόλει γεννηθείς[3], πᾶσαν δὲ γνῶσιν τῶν μαθημάτων ἐκμαθών, ἐπὶ τῆς βασιλείας Εἰρήνης τῆς εὐσεβεστάτης, εἰκοσιδύο ἐτῶν ὑπάρχων, ἀπελθὼν ἐν τῇ Σακουδίωνος μονῇ ὑπὸ τοῦ θείου αὐτοῦ Πλάτω- f. 78.

— [4] *supra lin. corr.* Sa. — [5] ἡ τοῦ ἁγίου μάρτυρος Μηνᾶ σύναξις Sa.
2. — [1] μονῆς *add*. Sa. — [2] Καβαλίνου S, Sa. — [3] καὶ τραφεὶς *add*. Sa.

θλάττεται τοὺς δακτύλους, ἕως οὗ ἐξαρθρωθέντες τῆς δορᾶς[5] ἐξεπήδησαν· εἶτα εἰς κάμινον ἐμβάλλεται ἐκκαυθεῖσαν[6] καὶ διαρκέσας ἐν αὐτῇ ἡμέρας γ', ἐξῆλθεν ἀβλαβής· καὶ μετὰ ταῦτα[7] δηλητήρια φάρμακα πιεῖν ἀναγκάζεται, ἃ καὶ σφραγίσας ἀπέδειξεν ἀνενέργητα, ὡς ἐν τούτῳ καταπλαγέντα τὸν ταῦτα κατασκευάσαντα προσελθεῖν τῷ Χριστῷ· μετὰ ταῦτα ἐκσπᾶται τὰ νεῦρα καὶ ἐκπυρωθέντι ἐλαίῳ ἐπιχέεται. Καὶ ἀναρτηθεὶς λαμπάσι καταφλέγεται καὶ κονίαν μετ' ὄξους ἀναγκάζεται δέξασθαι τῷ στόματι καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεται, κατὰ κεφαλῆς κρεμᾶται ἐπὶ ἡμέραις τρισί· εἶτα τὴν δορὰν ἀφαιρεῖται καὶ τότε τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρατίθεται. — Στεφανίδος. Αὕτη στρατευομένου τινὸς ὑπάρχουσα γαμετὴ καὶ τὸν Χριστὸν ἄνωθεν σεβομένη, ἀποβαλοῦσα δὲ τὸν ἄνδρα ἐξκαιδεκαετὴς καὶ ἐν μονώσει καὶ χηρείᾳ διάγουσα, ἐν τῷ βλέπειν τὸν ἅγιον Βίκτωρα τὰ ὑπὲρ ἄνθρωπον πάσχοντα ἐμακάριζεν αὐτόν, τοῖς νοεροῖς ὀφθαλμοῖς δύο στεφάνους ὁρῶσα φερομένους ἐξ οὐρανοῦ, ὧν ὁ μείζων ἡτοίμαστο τῷ μακαρίῳ Βίκτωρι[8]. Προσαχθεῖσα δὲ τῷ ἡγεμόνι καὶ τὸν Χριστὸν Θεὸν καὶ ποιητὴν πάντων ὁμολογήσασα, ἐκταθεῖσα τὰς χεῖρας δύο φοίνιξι βίᾳ καμφθεῖσι προσεδέθη· ὧν ἀφεθέντων καὶ πρὸς τὴν ἰδίαν ἀποκλινάντων ὁρμήν, αὐτὴ διαιρεῖται καὶ εἰς δύο μερίζεται τμήματα, καὶ οὕτως τὴν ψυχὴν Θεῷ ἀποδίδωσιν. — Βικεντίου διακόνου καὶ Οὐαλλερίου ἐπισκόπου. Οὗτοι ἐν Αὐγουστίᾳ πόλει τῆς Ἱσπανίας ὑπάρχοντες, ἤχθησαν παρὰ τὸ βῆμα Δατιανοῦ τοῦ ἄρχοντος· ὃς παραυτίκα καὶ σὺν πολλῇ τῇ ὕβρει ἐκέλευσεν αὐτοὺς[9] εἰς πόλιν Βαλεντίαν[10] σιδηρωθέντας ἀπαχθῆναι καὶ ζοφώδει καὶ δυσωδεστάτῃ φρουρᾷ καθειρχθῆναι. Μετὰ δέ τινας ἡμέρας ἐξαγαγὼν τὸν Βικέντιον, κελεύει ξέεσθαι· καὶ εὐθὺς ἀναρτηθεὶς ἐπὶ τοσοῦτον ξέεται, ὥστε τὴν τῶν σπλάγχνων διάπλασιν φανῆναι· εἶτα σταυρῷ καταπήγνυται κἀκεῖ προσηλωθεὶς ἀκινητί, κατὰ μέλος αἰκίζεται· εἶτα ἐκεῖθεν ἀποσπασθείς, στρεβλοῦται καὶ μαστίζεται καὶ τὰς πλευρὰς κατακαίεται. Ἔξαρθρος δὲ γενόμενος, ῥάβδους σιδηρᾶς πυρωθείσας καὶ φλογιζούσας δέχεται ἐπὶ τοῦ στήθους, ἕως οὗ διετάκη σχεδὸν ἅπαν αὐτοῦ τὸ σῶμα. Μετὰ ταῦτα ἀπορρίπτεται ἐν εἱρκτῇ, ὅτε θείας καὶ ἀγγελικῆς ὄψεως καταξιωθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρέθετο. — 2 : Θεοδώρου ἡγουμένου τῶν Στουδίων. Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Θεόδωρος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας τοῦ ἀσεβεστάτου Κωνσταντίνου τοῦ Κοπρωνύμου, γονέων εὐσεβῶν Φωτινοῦ καὶ Θεοκτίστης. Οὗτος ἐκ παιδὸς ταῖς τῶν γραμμάτων ἐνασχοληθεὶς[11] προσάγεται τέχναις· καὶ προβὰς τῇ ἡλικίᾳ διαμείβει γραμματικήν, φιλοσοφίαν καὶ ῥητορικὴν καὶ ἁπλῶς εἰπεῖν πᾶν κάλλος φράσεως ἀπηνθήσατο. Ἐπεὶ οὖν ἐκ μέσου ἐγένοντο οἱ ἀσεβέστατοι Λέων[12] τε καὶ Κωνσταντῖνος, ἐξήγειρεν ὁ Θεὸς κέρας σωτηρίας τῇ ἐκκλησίᾳ τὴν φερώνυμον καὶ ἀείμνηστον Εἰρήνην, λόγῳ καὶ ἔργῳ καταυγάσασαν τὰ πέρατα, καὶ μάλιστα τότε τοῦ θεολήπτου Ταρασίου καὶ ἱεράρχου καλῶς ἰθύναντος τοὺς τῆς ἐκκλησίας οἴακας, ὅτε καὶ ὁ μακάριος Θεόδωρος τὸ τῆς ἱερωσύνης ἀξίωμα παρὰ τοῦ μεγάλου ἀρχιερέως δέχεται, περισσῶς ἐκτήκων ἑαυτοῦ νηστείᾳ τὴν σάρκα καὶ τῇ μελέτῃ τῶν θείων γραφῶν. Τῷ δὲ τριακοστῷ πέμπτῳ χρόνῳ τῆς αὐτοῦ ἡλικίας, τοῦ ὁσίου Πλάτωνος πρὸς τὴν ἡγουμενείαν δυσχεραίνοντος, Θεόδωρος ταύτην ὑποδέχεται, καὶ αὖθις ὁ τῶν χριστιανῶν ἀντίπαλος διάβολος ἀναρριπίζει φλόγα κατὰ τῆς ἐκκλησίας. Καὶ γὰρ ὁ τῆς Εἰρήνης υἱὸς Κωνσταντῖνος ὁ ἀπαίδευτος καὶ μωρός, ἀθετήσας τὴν πρώην γαμετὴν καὶ βίᾳ ἀποκείρας, ἑτέραν ἠγάγετο· διὸ <ὁ[13]> τε πατριάρχης καὶ ὁ μέγας οὗτος ἀπωθοῦνται αὐτὸν ὡς μοιχόν. Ὁ δὲ ἀποστείλας εἰς τὴν μονήν, μάστιξι σφοδροτάταις αἰκισάμενος[14] τὸν ἀθλητὴν μεθ' ἑτέρων τριῶν ἀδελφῶν ἐν τῇ Θεσσαλονικέων ἐξορίζει. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ὁ μοιχὸς οὗτος ἐπανάστασιν ὑποστὰς[15] παρὰ τῶν ἰδίων στρατιωτῶν, ἀμφοτέρων τῶν ὀφθαλμῶν στερεῖται καὶ τῆς βασιλείας ἐκρίπτεται. Ἡ δὲ τούτου μήτηρ τῆς βασιλείας ἐγκρατὴς γεναμένη, τὸν ἐν ἐξορίᾳ ἀνακαλεῖται Θεόδωρον, καὶ ἐπανελθὼν ἑνοῦται τῷ πατριάρχῃ Ταρασίῳ, τοῦ Ἰωσὴφ τῆς ἀρχῆς ἀπελαθέντος. Τοῦ δὲ Νικηφόρου τῆς βασιλείας δραξαμένου, πάλιν ἐξορίᾳ παραπέμπεται Θεόδωρος ὡς μὴ δεχόμενος τὸν ἀπωσθέντα Ἰωσὴφ τῆς πατριαρχείας μετὰ τελευτὴν Ταρασίου· εἶτα τοῦ Νικηφόρου πτῶμα χαλεπὸν πεπτωκότος ἐν Βουλγαρίᾳ, διαδέχεται Μιχαὴλ τὴν βασιλείαν. Ὃς πάντας τοὺς[16] ἐν ἐξορίᾳ ἀνεκαλέσατο καὶ τὸν μέγαν Θεόδωρον. Ἡσυχίαν οὖν τῶν πραγμάτων ἐχόντων, Λέων[12], τῆς ἐκ τῶν Ἀρμενίων φυλῆς

— [5] δωρᾶς F. — [6] ἐγκαυθήσαν F. — [7] ταυτι F. — [8] Βίκτωρει F. — [9] αὐ αὐτούς F. — [10] Βαλλεντίαν F. — [11] ἐνασχολίσθαι F. — [12] Λέον F. — [13] *om.* F. — [14] αἰκίσα F. — [15] ὑπὸ τὰς F. — [16] πάντα τοῦ F.

Nov. 11. νος γέγονε μοναχὸς καὶ παρὰ Ταρασίου πατριάρχου χειροτονεῖται πρεσβύτερος· εἶτα[4] τριακονταετὴς ὢν γίνεται καθηγούμενος τῆς ὑπ' αὐτὸν μονῆς· ἐξωρίσθη δὲ εἰς Θεσσαλονίκην διὰ τὸ μὴ συνθέσθαι τῇ μοιχείᾳ τοῦ βασιλέως· ἀλλ' ἀνεκλήθη πάλιν παρὰ τῆς βασιλίσσης Εἰρήνης καὶ διὰ τὴν τῶν Σαρακηνῶν ἔφοδον τὴν βασιλεύουσαν καταλαμβάνει· καὶ πάλιν ἐξορίζεται παρὰ Νικηφόρου βασιλέως, τοῦ σφαγέντος ἐν Βουλγαρίᾳ, ἐπὶ τῇ ὁμοίᾳ ὑποθέσει· εἶτα ἐξορίζεται διὰ τὰς ἁγίας εἰκόνας ἐπὶ Λέοντος τοῦ εἰκονομάχου καὶ ὑπὲρ εὐσεβείας πολλὰ τιμωρηθεὶς[5] καὶ ἀγωνισάμενος καὶ ὕμνους εἰς Θεὸν συγγραψάμενος, ἐν βαθυτάτῳ γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν. Ἦν δὲ τὴν μὲν ἡλικίαν μακρός, κατάξηρος[6] καὶ ὠχρὸς τὴν ὄψιν, μιξοπόλιος[7] τὴν τρίχα καὶ ἐπιφάλακρος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

Nov. 12. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ ἐλεήμονος, πατριάρχου Ἀλεξανδρείας. Οὗτος Κύπριος ἦν τὸ γένος, υἱὸς Ἐπιφανίου τοῦ τότε τῆς νήσου ἄρχοντος· γυναικὶ δὲ προσομιλήσας κατὰ βούλησιν τοῦ πατρὸς καὶ τέκνων πατὴρ γεγονώς, ἐπεὶ τὸν βίον ἀπέλιπον ἥ τε γυνὴ καὶ τὰ τέκνα αὐτοῦ, πᾶσαν τὴν ἔφεσιν αὐτοῦ πρὸς ἐπίδοσιν ἀρετῆς καὶ Θεοῦ ἀρέσκειαν ἔτρεψε· καὶ διὰ λαμπρότητα βίου ὑπὸ Ἡρακλείου τοῦ βασιλέως, αἰτησαμένου τοῦ δήμου τῶν Ἀλεξανδρέων αὐτόν, πατριάρχης Ἀλεξανδρείας καθίσταται, κανονικῶς τὴν χειροτονίαν δεξάμενος. Διαπρέψας δὲ ἐν τῇ ἀρχιερωσύνῃ ἔτη πολλὰ καὶ μυρία ποιήσας θαύματα καὶ τοῖς δεομένοις ἀφθόνως χορηγήσας[1] τὰ πρὸς τὴν χρείαν καὶ διὰ τὴν πολλὴν ἐλεημοσύνη ν[2] τὴν τοῦ ἐλεήμονος ἐπίκλησιν λαχὼν[3] καὶ πᾶσιν αἰδέσιμος καταστάς, ὡς ἡ περὶ αὐτὸν βίβλος κατὰ πλάτος δηλοῖ, καὶ πολλοὺς τῶν ἀπίστων ἐπὶ τὸν

— [4] Sa, εἶ S. — [5] πολλὰ τιμοριθεὶς ὑπὲρ εὐσεβείας Sa. — [6] δὲ *add.* Sa. — [7] μιξαιπόλιος S.
1. — [1] χορηγῶν Sa. — [2] διὰ ||||||||||| ἐλεημοσύνην Sa. — [3] λαβὼν Sa.

Nov. 11. ἀπορραγείς, στρατηγὸς τῶν ἀνατολικῶν γίνεται· ἔπειτα βασιλεὺς ἀναγορεύεται. Οὗτος τῆς τοῦ Κοπρωνύμου μανίας διάδοχον ἑαυτὸν ἀποδεικνύς, (ἀνάθεμά σοι), ἔλεγεν μὴ δεῖν προσκυνεῖν εἰκόνα Χριστοῦ ἢ τῆς Θεοτόκου ἤ τινος τῶν ἄλλων ἁγίων. Διὰ ταύτην τὴν αἰτίαν ἐξορίζεται πάλιν ὁ μέγας Θεόδωρος ἐν τῇ τῆς Ἀπολλωνιάδος λίμνῃ· ἐκεῖθέν τε παραπέμπεται ἐν τῷ τῶν Ἀνατολικῶν θέματι χωρίῳ Βόνιτα προσαγορευομένῳ· ἐν ᾧ ὁ ἀθλητὴς παρὰ τοῦ βασιλικοῦ Ἀναστασίου πικρῶς ᾐκίσθη, ἑκατὸν μάστιγας ἐπὶ τῶν ὤμων δεξάμενος. Μετὰ δὲ τοῦτον ὁ τῆς ἀνατολῆς στρατοπεδάρχης σφοδροτάταις μάστιξι τοῦτον καθυπέβαλε, πλείω τῶν ἑκατὸν μαστίγων· καὶ μήπω τῆς τῶν τραυμάτων συνουλώσεως εὖ διατεθείσης[17], μετοικίζονται ἐκεῖθεν οἱ ὁμολογηταὶ πρὸς τὴν Σμυρναίων μητρόπολιν καὶ τῇ εἱρκτῇ ἐναπορρίπτονται καὶ τῷ βασανιστηρίῳ ξύλῳ ἐμβάλλονται. Τοῦ δὲ παρανόμου βασιλέως ἐν τῷ τοῦ παλατίου εὐκτηρίῳ ἀποσφαγέντος, Μιχαὴλ τὰ σκῆπτρα διαδέχεται. Ὅς τοὺς ἐν ἐξορίᾳ ὑπάρχοντας καὶ φρουραῖς συνεχομένους κελεύει τῶν δεσμῶν ἀφεθῆναι· ὅθεν καὶ οἱ ὁμολογηταὶ ἀνεκλήθησαν καὶ μικρὸν ἀνεθέντες τοῖς φίλοις συνῆσαν. Ὁ δὲ μακάριος Θεόδωρος ἀνακωχὴν τῶν πόνων λαβὼν μετὰ χρηστῆς ἐλπίδος ἀνεπαύσατο, τὸ πνεῦμα τῷ Θεῷ παραθέμενος. Οὗτος ὁ ἅγιος μακρὸς ἦν τῇ ἡλικίᾳ, κατάξηρος καὶ ὠχρὸς τὴν ὄψιν, μιξοπόλιος τὴν τρίχα καὶ ἐπιφάλακρος. — **Fa** : 1. 2. — **B** : 1. 2. — **Ba** : 1. 2 (= M). — Βικεντίου καὶ Οὐαλερίου (= F). — **T** : 1. 2. — **L** : 1. — **O** : 1. — **C** : 1, dein deest unum folium inter 50 et 51. — Δρακωνᾶ mutil. — Μαρτίνου ἐπισκόπου Φραγγίας (Nov. 12[3], sed dies mensis 11 manu recent.). — **Ca** : 1. 2. — Δρακωνᾶ. Οὗτος ὁ ἅγιος μάρτυς Δρακωνᾶς ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως καὶ Δεκίου ἡγεμόνος ἐκ πόλεως Νικαίας, ἀπὸ χωρίου Ἀραύρακα λεγομένου, πλουσίων γονέων ὑπάρχων. Ὅστις τὸν Θεὸν ἐκ βρέφους ἀγαπῶν καὶ ἐν ἀρετῇ βιῶν, ὁρῶν δὲ καὶ τὸν διωγμὸν αὐξανόμενον καὶ τοὺς χριστιανοὺς καθ' ἑκάστην ὑπὲρ Χριστοῦ θνήσκοντας, πάντα τὰ ὑπάρχοντα διαδοὺς πένησι καὶ σῶμα μόνον ἐν ἀνδρείᾳ ψυχῇ περιφέρων, αὐτόκλητος ἦλθε πρὸς τὸ μαρτύριον καὶ ταῖς βασάνοις προθύμως ἑαυτὸν ἐπέδωκεν, ἐνώπιον Δεκίου τὸν Χριστὸν ὁμολογήσας Θεὸν καὶ τοὺς ἑλληνικοὺς καθυβρίσας θεούς. Ὅθεν πρῶτον μὲν συντρίβεται τὸ στόμα καὶ λίθοις τὰς παρειὰς συνθλάττεται καὶ ὅλον τὸ σῶμα βάκλοις συντρίβεται· καὶ προσευξάμενος ἐρρύσθη ὑπὸ ἀγγέλου καὶ γέγονεν ὑγιής. ἀναιρεθέντων ἑλλήνων τῶν τυπτόντων αὐτόν. Ἰδόντες δὲ οἱ παρόντες τὸ γεγονὸς θαῦμα, ἐπίστευσαν τῷ Χριστῷ ὡσεὶ τρισχίλιοι· εἶτα παρέστη τῷ Διοκλητιανῷ καὶ ὑπ' αὐτοῦ ἰσχυρῶς βασανίζεται· εἶτα πάλιν βασανίζεται παρὰ Δεκίου· καὶ βασανιζομένου καὶ προσευξαμένου, πῦρ ἧκεν ἐκ τῶν οὐρανῶν καὶ κατέκαυσε τοὺς ὑπηρέτας. Ὁ δὲ ἅγιος ὤφθη ὑγιής· καὶ ἰδόντες οἱ ἕλληνες ἐπίστευσαν ὡσεὶ πεντακισχίλιοι ἐπὶ τὸν Κύριον· εἶτα ἥλοις προσπαγεὶς τὴν κεφαλήν, ἐν εἱρκτῇ κατακλείεται· εἶτα ἐκβληθεὶς τῆς εἱρκτῆς διὰ ξίφους τελειοῦται. — **Cb** : 1. 2. — Δρακωνᾶ. — **Cc** : 1. 2. — Δρακωνᾶ. — **Cd** : 1. – Δρακωνᾶ. — 2. — **M** : 1. 2. — **Mv** : 1. 2. — **Mr** : 1.

Nov. 12. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. — **H** : 3. 4. 5. 6. 7. 2. — **P** : 3. 5. 6 : Λεοντίου. — 7 : τῶν ἁγίων μαρτύρων Ἀρσακίου καὶ Βίκτωρος. – 2. 4 : τὰ ἐγκαίνια τοῦ εὐκτηρίου τοῦ ἀββᾶ Κύρου ἐν τῷ Σπαρακίῳ[1]. — **Da** : 1 (= F). 2. 3. — **Db** : 1. 2. 3. — **F** : 1 : Ἰωάννου τοῦ ἐλεήμονος. Ὅς ἦν Κύπριος τὸ γένος, υἱὸς Ἐπιφανίου τοῦ τῆς χώρας ἄρχοντος. Οὗτος γυναικὶ προσομιλήσας κατὰ βούλησιν τοῦ πατρὸς καὶ τέκνων πατὴρ γεγονώς, ἐπεὶ τὸν βίον ἥ τε γυνὴ αὐτοῦ καὶ τὰ τέκνα ἀπέλιπον, πᾶσαν τὴν ἔφεσιν αὐτοῦ πρὸς ἐπίδοσιν ἀρετῆς καὶ Θεοῦ ἀρέσκειαν ἔτρεψε· καὶ διὰ λαμπρότητα βίου

— [17] συμβουλώσεως εὖδιατεθήσις F.
[1] *ita* P, *al.* Σφωρακίου. *Cf.* S *supra ad d. sept. 23, n. 1.*

Κύριον[4] ἐπιστρέψας, ἐν γήρᾳ βαθεῖ τὸν βίον ἀφεὶς πρὸς αὐτὸν[5] ἀνέδραμε χαίρων.

f. 78v. 2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς | ἡμῶν Νείλου τοῦ ἀσκητοῦ. Οὗτος πολὺς ὢν ἐν τοῖς λόγοις ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου, ἔπαρχος Κωνσταντινουπόλεως ἐγνωρίζετο· σεμνῇ δὲ γυναικὶ συζευχθεὶς καὶ δύο τέκνα, ἄρρεν τε καὶ θῆλυ, ἀποτεκὼν τὴν αὐτοῦ πέπεικε[1] σύζυγον τὴν Κωνσταντινούπολιν καταλιπεῖν καὶ τοῖς τῆς Αἰγύπτου μοναστηρίοις κατασκηνῶσαι, μερίσασθαί τε τὰ τέκνα, καὶ τὸν μὲν παραλαβεῖν τὸν υἱὸν Θεόδουλον, τὴν δὲ τὴν ἑαυτῆς θυγατέρα· καὶ οὕτω ποιήσαντες διέστησαν ἀπ' ἀλλήλων. Ἐπεὶ οὖν ὁ μακάριος Νεῖλος τὸ ὄρος μετὰ τοῦ υἱοῦ κατειληφὼς συνῆν τοῖς πατράσι, βάρβαροί τινες ἐξαίφνης ἐπελθόντες ὡς θῆρες τὸν υἱὸν Θεόδουλον ἔλαβον σὺν ἄλλοις πλείστοις αἰχμαλώτοις· ὃν ὡς αἰχμάλωτον θρηνεῖ πλεῖον[2] τοῦ καθήκοντος, καθὼς ἐν τῷ[3] παρ' αὐτοῦ συντεθέντι[4] συγγράμματι ἐμφέρεται. Τῆς θείας οὖν καταξιωθεὶς ἱερωσύνης καὶ λόγους ἀσκητικοὺς πλήρεις σοφίας καὶ ὠφελείας ἐκθεὶς[5] καὶ πολλοὺς τῷ θείῳ ἔρωτι τοῦ Χριστοῦ δι' αὐτῶν προσοικειώσας, ἐν εἰρήνῃ τελειοῦται. Κεῖται δέ, ὥς φασιν, αὐτὸς καὶ ὁ υἱὸς αὐτοῦ μεθ' ἑτέρων ἀσκητῶν ἐν τῷ σεβασμίῳ ναῷ τοῦ ἁγίου ἀποστόλου Παύλου ἐν τῷ Ὀρφανοτροφείῳ ὑποκάτωθεν τοῦ ἁγίου θυσιαστηρίου, ὑπὸ Ἰουστίνου τοῦ φιλοχρίστου βασιλέως κατατεθέντων.

3. Καὶ[1] μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρτίνου ἐπισκόπου Φραγγίας τοῦ θαυματουργοῦ. Ὅς ἦν ἐπὶ Τραϊανοῦ[2] τοῦ βασιλέως ἐν Ῥώμῃ, κόμης τὴν ἀξίαν· στρατηλάτης δὲ παρὰ τοῦ βασιλέως καταστάς, πρὸς τὸν κατὰ τῶν[3] βαρβάρων ἐκπέμπεται πόλεμον καὶ τὴν πληθὺν τῶν ἐναντίων ἰδών, ἔδεισεν[4] ὥσπερ εἰκός. Κατ' ὄναρ δὲ ἐκ θείας ἐπιφανείας θάρσος λαβὼν καὶ τῆς κατὰ τῶν ἐχθρῶν νίκης ἐπαγγελίαν, συμμίξας αὐτοῖς καὶ συμβαλὼν πάντας ἐτροπώσατο· καὶ μεγάλης παρὰ τοῦ βασιλέως διὰ τοῦτο[5] τυχὼν δεξιώσεως, αὐτὸς μᾶλλον τῷ τῶν οὐρανῶν βασιλεῖ εὐχαριστῶν διετέλει, ὡς τὴν ἀνέλπιστον νίκην παρασχομένῳ αὐτῷ δι' εὐποιίαν μικράν. Πρὸ γὰρ τῆς συμβολῆς τοῦ πολέμου προσελθόντα αὐτῷ τινα προσαίτην καὶ τὴν ἀπορίαν ἀποκλαιόμενον συμπαθήσας, μέρος τῆς χλανίδος αὐτοῦ ἀπορρήξας ἐπέδωκεν· ὅθεν ἔδοξε τὸν Κύριον ἐν τοῖς ὕπνοις αὐτοῦ παραστάντα ἰδεῖν[6] λέγοντα[6] πρὸς αὐτόν· « Ἐπεὶ πει- » νῶντά με ἔθρεψας καὶ γυμνητεύοντα ἐνέδυσας, » ἔσομαι μετὰ σοῦ καὶ ἐνισχύσω σε καὶ τὴν κατ' » ἐχθρῶν παρέξω σοι | νίκην. » Ἀνθ' ὧν εὐχαρι- f. 79 στῶν τῷ Θεῷ, ἐπὶ τὸν μονήρη βίον μετέθηκεν ἑαυτὸν καὶ ἐπὶ χρόνοις ἑπτὰ τῇ ἀσκήσει ἐγγυμνασάμενος καὶ ταῖς θείαις[7] ἐμμελετήσας γραφαῖς, ἐπίσκοπος χειροτονεῖται Κωνσταντίνης τῆς πόλεως τῆς κατὰ τὴν[8] Γαλλίαν[8] διακειμένης. Οὗτος τῇ τοῦ Χριστοῦ χάριτι μεγάλα κατεργασάμενος[9] θαύματα, νεκροὺς ἀναστήσας καὶ δι' εὐχῆς δράκοντα θανατώσας καὶ περιστερὰν ζῶσαν εἰς χρυσὸν μεταβαλών, ὡς ἂν τοῦ δεομένου βοηθήσῃ τῇ χρείᾳ καὶ πάλιν εἰς ὃ ἦν καταστήσας αὐτὴν καὶ ἕτερα πλείω[10] πεποιηκώς, ἐν εἰρήνῃ τὸν βίον μετήμειψε.

4. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τοῦ εὐκτηρίου τοῦ ἁγίου ἀββᾶ Κύρου.

5. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως γενομένου Φλαβιανοῦ.

6. Καὶ Λέοντος.

7. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀρσακίου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ'.

Nov. 13. 1. Μνήμη ἤτοι ὑπερορία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου. Τελεῖται δὲ ἀντὶ τῆς κοιμήσεως[1] αὐτοῦ διὰ τὸ ταύτην τῇ ὑψώσει τοῦ τιμίου σταυροῦ συμβαίνειν. Ὑπῆρχεν δὲ οὗτος ἐκ πόλεως Ἀντιοχείας τῆς Συρίας, πατρὸς Σεκούνδου

— [4] πρὸς Κύριον Sa. — [5] οὐρανόν Sa.
2. — [1] Sa, πέποικε S. — [2] πλέον Sa. — [3] ἐν τῷ *supra lin.* S. — [4] Sa, συνετέθη S. — [5] ἐπιστολάς τε καὶ κεφάλαια πλεῖστα συνθεὶς *add.* Sa.
3. — [1] τῇ αὐτῇ ἡμέρα Sa. — [2] Τραϊνοῦ Sa. — [3] *om.* Sa. — [4] εἴδεισεν S. — [5] τούτου S, Sa. — [6] εἰπεῖν Sa. — [7] θεῖαι S. — [8] Γαλλαν S. — [9] κατειργάσατο Sa. — [10] πλεῖστα Sa.
1. — [1] Sa, τῇ κοιμήσει S.

ἀρχιεπίσκοπος Ἀλεξανδρείας καθίστατο, τοῦ τῶν Ἀλεξανδρέων δήμου τοῦτο Ἡρακλείῳ[2] βασιλεῖ αἰτησαμένου· ὃς ἐπὶ τὴν λυχνίαν εὐαγγελικῶς τεθείς, δίκην πυρσοῦ ἐπὶ τὴν οἰκουμένην ἐξέλαμψε, πρῶτος τὴν ἐν τῷ τρισαγίῳ ὕμνῳ προσθήκην κωλύσας, παρεντιθέντων γνώμῃ κακούργων τινῶν τό· « ἅγιος ἀθάνατος » ὁ σταυρωθεὶς δι' ἡμᾶς. » Διαπρέψας δὲ ἐν τῇ ἀρχιερωσύνῃ ἔτη πολλὰ καὶ πλεῖστα πεποιηκὼς θαύματα καὶ τοῖς δεομένοις ἀφθόνως χορηγήσας τὰ πρὸς[3] τὴν χρείαν καὶ τὴν τοῦ ἐλεήμονος ἐπίκλησιν ἐντεῦθεν λαβὼν καὶ πᾶσιν αἰδέσιμος καταστάς, ὡς ἡ περὶ αὐτὸν βίβλος δηλοῖ, πρὸς Κύριον ἐξεδήμησεν. — 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 3. 1. — **Ba** : 1. 2. — **T** : 1. — **L** : 1. 3. 4. 5. 6. 2. — **O** : 1. 2. 3. — **C** : 1. — **Ca** : 1. 2. 3. — **Cb** : 1. — **Cc** : 3. 1. — **Cd** : 3. 1. — **M** : 1. 2. 3 : (Μαρτίνου ἐπισκόπου Φρυγίας). — τοῦ ἁγίου προφήτου Ἀχιὰ. — 6 : Ἀρσακίου καὶ Βίκτωρος. — 5. — **Mv** : 1. 2. 3 (ἐπισκόπου Φραγγίας). — Ἀχιὰ. — Μαρτίνου ἐπισκόπου Ταρακίνης (Nov. 10[3]). — Ἀντωνίου καὶ τῶν σὺν αὐτῷ (Nov. 13[3]). — **Mr** : 1. 2.

Nov. 13. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 1. 2 (Μήλη, Ἑβόρι, Πάπα καὶ Σεβόϊ). — 3. — **P** : 1 (κοίμησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου...). — 2 (Μίλη ἐπισκόπου Ἑβόρη, Παπὰ καὶ Σεβόη διακόνου). — 3 (... Γερμανοῦ, Βαναθᾶς). — **Da** : 1 (= F). 2 (= Cd). 3 (... Μανοθῶ). — **Db** : 1. 2. 3. — **F** : 1 :

— [2] Ἡρακλίῳ F. — [3] πρὸ F.

Nov. 13. στρατηλάτου καὶ μητρὸς Ἀνθούσης εὐσεβοῦς[2] καὶ πιστῆς. Εὐθὺς οὖν ἐν ἀρχῇ τοῦ βίου πολὺν περὶ τοὺς λόγους ἐκτήσατο ἔρωτα καὶ μετῆλθεν ἐν τάχει πᾶσαν γραφὴν ἑλλήνων τε καὶ χριστιανῶν· καὶ δι' ἀρετὴν παρὰ μὲν Μελετίου[3] πατριάρχου Ἀντιοχείας γίνεται κληρικός, παρὰ δὲ Φλαβιανοῦ[4] διάκονος καὶ πρεσβύτερος. Πᾶσαν δὲ τὴν ἁγίαν ἑρμηνεύσας γραφήν, ἐπεὶ Νεκτάριος ὁ τῆς Κωνσταντινουπόλεως πατριάρχης τὸν βίον ἀπέλιπε, ψήφῳ τῶν ἐπισκόπων καὶ τῇ τοῦ βασιλέως Ἀρκαδίου προστάξει ἐκ τῆς Ἀντιοχέων μεταπεμφθείς, ἀρχιερεὺς τῆς βασιλίδος πόλεως ἀποκαθίσταται. Τὴν πλεονεξίαν δὲ ἐλέγχων[5] προσέκρουσε τῇ βασιλίδι[6] Εὐδοξίᾳ· καὶ ὑπ' ἐκείνης ἀδίκως ἐξορισθεὶς ἐν Κουκουσῷ τῆς Ἀρμενίας ἐκεῖ, τελειοῦται. Ἦν δὲ τὴν ἰδέαν τοῦ σώματος βραχὺς πάνυ τὴν ἡλικίαν, μεγάλην κεφαλὴν τοῖς ὤμοις αἰωρῶν, ἰσχνὸς ἐς τὸ ἀκριβέστατον, ἐπίρριν, εὐρὺς[7] τοὺς μυκτῆρας, ὠχρότητα[8] μετὰ λευκοῦ, κοίλους τοὺς κόγχους τῶν ὀφθαλμῶν ἔχων καὶ βολβοῖς τούτων κεχρημένος μεγάλοις, ἐφ' οἷς καὶ συνέβαινε χαριέστερον
f. 79'. ταῖς ὄψεσιν ἀποστίλβειν, | εἰ καὶ τῷ λοιπῷ χαρακτῆρι τὸν ἀχθόμενον παρεδήλου· ψιλὸς καὶ μέγας τὸ μέτωπον καὶ πολλαῖς ταῖς στολίσι κεχαραγμένος, ὥτα περικείμενος μεγάλα καὶ τὸ γένειον μικρὸν καὶ ἀραιότατον ὑπὸ πολιαῖς ταῖς θριξὶν ἐξανθῶν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Μίλη ἐν Τελεπόλει καὶ τῶν μαθητῶν αὐτοῦ Εὔβόρη, Πάπα καὶ Σενοεὶ διακόνου. Οὗτοι ὑπῆρχον ἐκ Περσίδος· ὁ δὲ ἅγιος Μίλης στρατιώτης τὸ πρῶτον ὢν διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν προεχειρίσθη ἐπίσκοπος ἐν Τελεπόλει, ἔνθα ὁ προφήτης Δανιὴλ τὰς ὀπτασίας ἐθεάσατο, χειροτονηθεὶς παρὰ Βηθλαπὰτ[1] τοῦ ἐπισκόπου Γεδδιπόλεως[2]· διωχθεὶς δὲ ἐκεῖθεν ὑπὸ τῶν ἀπίστων ἦλθεν εἰς Ἱεροσόλυμα καὶ εἰς Ἀλεξάνδρειαν πρὸς τὸν μακάριον Ἀντώνιον τὸν καθηγητὴν τῆς ἐρήμου, κἀκεῖθεν[3] ὑπέστρεψεν ἐν Περσίδι· ἐν δὲ Μιλιγέρδᾳ[4] τῇ πόλει γενόμενος παρὰ Μισθοφάρη τοῦ βασιλίσκου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ ἀναιρεῖται, παισάντων αὐτὸν[5] μαχαίραις κατὰ τοῦ[6] στήθους καὶ τῆς καρδίας, οὓς καὶ κατηράσατο ὑπὸ ἀλλήλων ἀναιρεθῆναι· καὶ εὐθὺς μεθ' ἡμέρας συμπεσόντες ἀλλήλοις ὑπ' ἀλλήλων ἐθανατώθησαν· κατελεύσθη-

— [2] εὐσεβῆς S. — [3] Μελετίου μὲν Sa. — [4] παρὰ Φλαβιανοῦ δὲ τοῦ μετ' αὐτὸν πατριάρχου χειροτονεῖται (Ἀντιοχείας - πατριάρχου *in margine adscripta*) Sa. — [5] διελέγχων Sa. — [6] βασιλίσσῃ Sa. — [7] εὐρὺν Sa. — [8] ὠχρότατος Sa.

2. — [1] Βηθλαπατὸν S. — [2] *hic latet nomen episcopi qui* Γαδδιάβης *vocatur apud* Sozomenum, H. E., *II, 13, et locus corruptus ita restituendus* χειροτονηθεὶς παρὰ Γαδδιάβου τοῦ Βηθλαπὰτ πόλεως ἐπισκόπου. *Cf. Acta S. Milis syriaca, ap.* Assemani, *t. I, p. 70.* — [3] ἐκεῖθεν Sa. — [4] Μηλιγέρδα Sa. — [5] αὐτῶν S. — [6] *om.* Sa.

Nov. 13. Ἰωάννου τοῦ Χρυσοστόμου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ὃς ἐγένετο ἐκ πόλεως Ἀντιοχείας τῆς Συρίας, πατρὸς μὲν Σεκούνδου στρατηλάτου, μητρὸς δὲ Ἀνθούσης εὐσεβοῦς καὶ πιστῆς. Εὐθὺς οὖν ἐν τῇ ἀρχῇ τοῦ βίου πολὺν περὶ τοὺς λόγους ἐκτήσατο ἔρωτα. Τῇ οὖν περὶ τούτους σπουδῇ καὶ τῆς φύσεως ὀξύτητι πᾶσαν ἑλληνικὴν σοφίαν μετῆλθε, φοιτήσας παρὰ Λιβάνιον καὶ Ἀνδραγάθιον τοὺς ἐν Ἀντιοχείᾳ σοφιστάς, εἶτα τοὺς ἐν Ἀθήναις. Μελετήσας δὲ καλῶς καὶ τὴν θείαν γραφὴν <καὶ [1]> εἰς τὸ ἄκρον τῆς περὶ αὐτὴν ἐλάσας γνώσεως καὶ ἁγνείᾳ καὶ καθαρότητι τὸν βίον κοσμήσας, εἰς τὸ τοῦ κληρικοῦ κείρεται σχῆμα παρὰ τοῦ ἐν ἁγίοις Μελετίου πατριάρχου Ἀντιοχείας· εἶτα παρὰ τοῦ μετ' αὐτὸν χειροτονεῖται πρεσβύτερος καὶ πολλοὺς συντάξας λόγους κρείττονας ἀριθμοῦ περὶ μετανοίας καὶ τῆς ἐν ἤθεσι καταστάσεως καὶ πᾶσαν τὴν θεόπνευστον ἑρμηνεύσας γραφήν, ἐπεὶ Νεκτάριος[2] ὁ τῆς Κωνσταντινουπόλεως πρόεδρος τὸν βίον ἀπέλιπεν, ψήφῳ τῶν ἐπισκόπων καὶ τῇ τοῦ βασιλέως προστάξει Ἀρκαδίου[3] ἐκ τῆς Ἀντιοχέων μεταπεμφθεὶς ἀρχιερεὺς τῆς βασιλίδος καθίσταται πόλεως[4], κανονικῶς τὴν χειροτονίαν δεξάμενος· ἐπέτεινε δὲ πλέον τὴν ἐν ταῖς ἑρμηνείαις τῆς γραφῆς σπουδήν, τὴν <τε [5]> ἐν ταῖς διαλέξεσι διδασκαλίαν, δι' ἧς πολλοὺς πρὸς θεογνωσίαν ἤγαγεν καὶ πολλοὺς πρὸς μετάνοιαν ἐξ ἀνειμένου βίου καὶ ἀκρατοῦς, τῇ συνεχεῖ διδασκαλίᾳ τὰ τῶν ἀνθρωπίνων ψυχῶν πάθη οἷον ἀναμοχλεύων καὶ ἀπελαύνων. Τοσοῦτον δ' ἑαυτὸν ἐπέδωκε τῇ ἀσκήσει καὶ ἐγκρατείᾳ, ὡς βραχέος μόνου μεταλαμβάνειν τοῦ ἐκ κριθῆς χυλοῦ καὶ ὕπνου μικροῦ, καὶ τοῦτο οὐκ ἐπὶ κλίνης ἀλλ' ἱστάμενος καὶ σχοινίοις τισὶ διαβασταζόμενος, εἰ δέ που ὀκλάσειε, καθεζόμενος. Τῷ δὲ περιόντι τῆς πρὸς τοὺς δεομένους φιλανθρωπίας[6] καὶ ἑτέροις πολλοῖς εἰς τοῦτο καθίστατο τύπος· ὅθεν καὶ ἐν λόγοις ἐδίδασκε προσφυῶς πρὸς τὴν τοιαύτην ἀρετὴν διακεῖσθαι καὶ τῆς πλεονεξίας ἀπέχεσθαι. Διάτοι τοῦτο καὶ Εὐδοξίᾳ τῇ βασιλίσσῃ πρὸς ἔχθραν κατέστη. Ἡ μὲν γὰρ ἥρπασεν ἀμπελῶνα χήρας τινὸς καὶ ἡ χήρα ἐπεβοᾶτο ἐπιζητοῦσα τὸ ἑαυτῆς. Καὶ ὁ ἅγιος παρήνει τὸ ἀλλότριον μὴ κατέχειν καὶ μὴ πειθομένην τὴν βασιλίδα διήλεγχεν· ἡ δὲ ἀκρατῶς εἴχετο τοῦ ἀμπελῶνος καὶ ὁ ἅγιος τῷ κατὰ τὴν Ἰεζάβελ παραδείγματι στηλιτεύει αὐτήν· ἡ δὲ ἀποθηριοῦται καὶ τοῦ θρόνου ἀπελαύνει αὐτόν, τὸ μὲν πρῶτον δι' ἑαυτῆς, τὸ δὲ δεύτερον δι' ἐπισκόπων, οἷς ταῖς δυναστείαις μᾶλλον ἢ τῇ εὐσεβείᾳ ἐπολιτεύοντο. Ἐπεὶ δὲ μικρὰ ἔδοξε τὰ κατηγορηθέντα, τῇ ἐκκλησίᾳ ἀποκαθίσταται, οὐ τοῦ θυμοῦ λήξαντος οὐδὲ ἐφ' οἷς ἐξήμαρτον οἱ κατὰ τὸν ἅγιον κινηθέντες λαβόντες μετάνοιαν, ἀλλ' ὅπως ἐκ διαβολῆς καὶ συκοφαντείας μείζονος αἰτιασάμενοι, εὐλόγως αὐτὸν δόξωσιν ἀποκινῆσαι τοῦ θρόνου. Ὃ δὴ καὶ πεποιηκότες, οὐκ εἰς μακρὰν ἐδέξαντο τῆς τοιαύτης πράξεως τὰ ἐπίχειρα. Ὁ μὲν γὰρ ἅγιος ἐν Κουκουσῷ τῆς Ἀρμενίας τελευταῖον παραπεμφθεὶς καὶ θλίψεσι προσομιλήσας πολλαῖς, τὴν τιμίαν αὐτοῦ ψυχὴν παρέθετο τῷ Θεῷ. Οἱ δέ, ὡς ἡ κατ' αὐτῶν[7] ἱστορία δηλοῖ, εὐθὺς μετὰ τὴν ἐκείνου ἀπὸ τοῦ θρόνου κάθοδον νόσοις ἐξετασθέντες δειναῖς, ἀπέρρηξαν τὰς ψυχάς, τῆς Εὐδοξίας πρώτης τοῦτο παθούσης ὡς καὶ πρώτης ἀνομησάσης καὶ τῆς τῶν ἐπισκόπων ψευδομένης[8] γενομένης ὁδηγοῦ πρὸς ἀπώλειαν. Φασὶ δὲ ὅτι μετὰ τὴν αὐτῆς τελευτὴν πρὸς

[1] *om.* F. — [2] Ναικτάριος F. — [3] Ἀρκάδιον F. — [4] πόλιν F. — [5] *om.* F. — [6] φιλανθρωπία F. — [7] κατα ταυτῶν F. — [8] τὸν ἐπισκόπων ψευδομένοις F.

σαν δὲ καὶ οἱ μαθηταὶ αὐτοῦ. Ἰάσεις δὲ[7] πολλὰς ὁ ἅγιος ἐν τῷ ζῆν εἰργάσατο· καὶ γὰρ δράκοντα ἐθανάτωσε καὶ τὸν ἀρχιεπίσκοπον Κτησιφῶντος ὑπερηφανευσάμενον καὶ τὸ θεῖον εὐαγγέλιον μυκτηρίσαντα κεραυνόβλητον καὶ ἡμίξηρον διὰ προσευχῆς ἐποίησεν καὶ ποταμὸν ἀβρόχως διέβη καὶ ἕτερα πλεῖστα μνήμης ἄξια καὶ λόγου δύναμιν ὑπερβαίνοντα ἔπραξεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀντωνίνου, Νικηφόρου, Ζεβινᾶ[1], Γερμανοῦ καὶ Μαναθᾶς. Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ· ὁ μὲν Ἀντωνῖνος τὴν ἡλικίαν προβεβηκώς, ὁ δὲ Νικηφόρος καὶ Ζεβινᾶς καὶ Γερμανὸς νέοι καὶ ἔτι ἀκμάζοντες. Κατασχεθέντες δὲ ὑπὸ Μάζου τινὸς τὰς κεφαλὰς ἐν Καισαρείᾳ ἀπετμήθησαν. Ἡ δὲ παρθένος Μαναθᾶ ἐν Σκυθοπόλει πᾶσαν <τὴν πόλιν [2]> θριαμβευθεῖσα γυμνὴ πυρὶ παρεδόθη. Nov. 13.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κυντιανοῦ ἐπισκόπου Σελευκίας, ἑνὸς τῶν τιη' ἁγίων[1] πατέρων.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ'.

1. Μνήμη τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Φιλίππου, ἑνὸς τῶν δώδεκα. Οὗτος ἦν ἀπὸ Βηθσαϊδᾶ τῆς πόλεως, συμπολίτης Ἀνδρέου καὶ Πέτρου. Πολὺς δὲ ὢν ταῖς βίβλοις τῶν προφη-
f. 80. τῶν | προσκείμενος[1], παρθένος διὰ βίου παντὸς ἐγνωρίζετο. Τοῦτον εὑρὼν ὁ Χριστὸς μετὰ τὸ βάπτισμα ἐν τῇ Γαλιλαΐᾳ, προετρέπετο ἀκολουθεῖν. Ὁ δὲ μετὰ τοῦτο συντυχὼν τῷ Ναθαναὴλ ἔφη·
Io. 1, 45. « Εὑρήκαμεν Ἰησοῦν τὸν υἱὸν Ἰωσὴφ τὸν ἀπὸ » Ναζαρέτ. » Καὶ πολλὰ ἔστιν ἕτερα περὶ αὐτοῦ τὸν βουλόμενον ζητεῖν ἐκ τῆς θεοπνεύστου γραφῆς ἀναδιδάσκεσθαι. Οὗτος μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου[2] τὴν Ἀσιάτιδα γῆν κληρωθεὶς ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως παρεγένετο καὶ εἰς Ὀφιορύμην, ἥτις ἐστὶν[3] νῦν Ἱεράπολις, μετὰ Μαριάμνης τῆς ἀδελφῆς αὐτοῦ καὶ Βαρθολομαίου τοῦ ἀποστόλου, διδάσκων τὸν λόγον τοῦ Χριστοῦ καὶ πείθων τοὺς ἀπίστους ἀποστῆναι ἀπὸ τῆς πλάνης τῶν εἰδώλων· εἶχον γὰρ ὡς θεὸν τὴν ἔχιδναν. Πολλοὶ δὲ ἐπίστευσαν, ἐν οἷς ἦν καὶ Νικάνωρα γυνὴ τοῦ ἀνθυπάτου τοῦ καὶ τιμωρήσαντος αὐτούς. Διαφόροις δὲ τιμωρίαις καθυποβληθείς, ὕστερον τοὺς ἀστραγάλους τρυπηθεὶς καὶ τὰς πτέρνας διατρηθεὶς ἀναρτᾶται κατὰ κεφαλῆς ἐπὶ ξύλου, ἅμα Βαρθολομαίῳ τῷ ἀποστόλῳ, τὰ αὐτὰ καὶ αὐτῷ πάσχοντι[4]. Κρεμαμένου δὲ τοῦ Φιλίππου καὶ προσευχομένου, ἐξαίφνης ἠνοίχθη ἡ γῆ καὶ κατέπιε τοὺς ἐν Ἱεραπόλει ἀθέους καὶ τὸν ἀνθύπατον καὶ τὴν ἔχιδναν καὶ τοὺς ἱερεῖς αὐτῆς· εἶτα διὰ Χριστοῦ ἀνήχθησαν πλὴν τοῦ ἀνθυπάτου καὶ τῆς ἐχίδνης καὶ λύουσι μὲν τὸν Βαρθολομαῖον. Ὁ Φίλιππος δὲ τούτους ἐπέσχε τῆς πρὸς αὐτὸν ἐγχειρήσεως καὶ ἐν αὐτῷ τῷ ξύλῳ ἐτελειώθη. Εἶθ' οὕτως Βαρθολομαῖος καὶ Μαριάμνη τὸ τοῦ ἀποστόλου συστείλαντες[5] λείψανον αὐτοὶ ἐν Λυκαονίᾳ ἐξέδραμον. Τελεῖται δὲ ἡ αὐτοῦ[6] σύναξις ἐν τῷ Nov. 14.

— [7] δὲ *supra lin.* Sa.

3. — [1] Ζεβηνᾶ S. — [2] Sa, *om.* S.

4. — [1] θεοφόρων *add.* Sa.

1. — [1] προκείμενος Sa. — [2] ἡμῶν *add.* Sa. — [3] ἡ *add.* Sa. — [4] πεπονθότι Sa. — [5] τὸ *add.* Sa. — [6] αὐτῶν S.

ἔλεγχον τῆς εἰς τὸν Χρυσόστομον ἀδικίας ἡ λάρναξ, ἔνθα κατετέθη, ἐκινεῖτο ἐπὶ χρόνους δύο καὶ τριάκοντα· ἐν δὲ τῷ ἀνακομισθῆναι τὸ τοῦ Χρυσοστόμου τίμιον λείψανον καὶ ἀποτεθῆναι, ἔνθα νῦν ἐστι, καὶ αὐτὸ τοῦτο τρέμειν ἐπαύσατο[9]. — 2. — **Fa** : 1. 2 (... Ἐβόρη ...). — **B** : 1. 2. 3. — **Ba** : 1 (= F). 2 (Μελέτη ἐπισκόπου ἐν Τελεπόλεως καὶ τῶν μαθητῶν αὐτοῦ Ἐβόρι, Πάπὰ καὶ Σενοῖ διακόνου. = Cd). 3. — **T** : 1. — **L** : 1. — **O** : 1 (= F). 2. 3 (... Γερμανοῦ καὶ Μανοθῶ). — **Q** : 1. 2. 3. — **C** : 1. 2. 3 (... καὶ Μαναθούς). — **Cb** : 1. 2. 3. — **Cc** : 1. 2. 3. — **Cd** : 1. 2 : Μίλη ἐπισκόπου καὶ τῶν σὺν αὐτῷ μαθητῶν Ἐβόρη[10], Πάπα καὶ Σεβόρη διακόνου. Οὗτοι ὑπῆρχον ἐκ Περσίδος. Ὁ δὲ ἅγιος Μίλης στρατηγὸς τὸ πρότερον ἦν, προεχειρίσθη δὲ ἐπίσκοπος διὰ πολλὴν ἀρετὴν ἐν Τελεπόλει, ἔνθα ὁ προφήτης Δανιὴλ τὰς ὀπτασίας ἐθεάσατο, χειροτονήσαντος αὐτὸν Βηθλαπὰτ[12] τοῦ ἐπισκόπου Γεδδηγουπόλεως[13]· διωχθεὶς δὲ ὑπὸ τῶν ἀπίστων, ἐκεῖθεν ἦλθεν εἰς Ἱεροσόλυμα καὶ εἰς Ἀλεξάνδρειαν πρὸς τὸν μακάριον Ἀντώνιον τὸν καθηγητὴν τῆς ἐρήμου κἀκεῖθεν ὑπέστρεψεν ἐν Περσίδι. Ἐν δὲ Μιλιγέρδᾳ τῇ πόλει γενάμενος παρὰ Μισθοφάρη[14] τοῦ βασιλίσκου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ κατὰ καρδίας πληγείς, τελειοῦται μαχαίρᾳ, διὰ τὸ μὴ θῦσαι τῷ ἡλίῳ καὶ τῷ πυρί. Ἔτι δὲ ἐμπνέων ἔφη πρὸς τὸν βασιλίσκον καὶ τὸν ἀδελφὸν αὐτοῦ Νηρσᾶν ὅτι· « Τὴν αὔριον κατὰ τήνδε τὴν ὥραν ὑπ' ἀλλήλων ἀναιρεθήσεσθε », ὅπερ καὶ γέγονεν. Οἱ δὲ μαθηταὶ αὐτοῦ, ξύλοις τυπτόμενοι, οὕτως ἐτελειώθησαν· ἰάσεις δὲ πολλὰς ἐν τῷ ζῆν ὁ ἅγιος κατεργασάμενος, οὕτως ἐτελειώθη. Καὶ γὰρ δράκοντα ἐθανάτωσε καὶ τὸν ἀρχιεπίσκοπον Κτησιφῶντος ὑπερηφανευσάμενον καὶ τὸ εὐαγγέλιον μυκτηρισάμενον κεραυνόβλητον καὶ ἡμίξηρον διὰ προσευχῆς πεποίηκε· καὶ ποταμὸν ἀβρόχως διέβη καὶ ἄλλα πλεῖστα μνήμης καὶ λόγου δύναμιν ὑπερβαίνοντα. — 3. — **M** : 1. — **Mv** : 1. — **Mr** : 1. Nov. 13.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 1. 2. 3. 4. — **P** : 1. 2. 4. 3. — **Da** : 1. 2. 5. — **Db** : 1. 2. 5. — **F** : 1. — Ἀντωνίνου, Νικηφόρου κτλ. (Nov. 13[3]). — 2. 4. 3. 5. — **Fa** : 1. — Ἀντωνίνου κτλ. — 2. 4. 5. — **B** : 1. — **Ba** : 1 (= S). 2. 5 (= S). — **T** : 1. — **L** : 1, des. : Τελεῖται ... ἐν τοῖς Βελτιάδου. Ἰστέον ὅτι καὶ ἕτερος Φίλιππός ἐστιν ὁ εἷς τῶν ἑπτὰ διακόνων. — **O** : 1. 2. — **Q** : 1. 2. 5. — **C** : 1. 5. 2. 3. 4. — **Cb** : 1. 2. — **Cc** : 1. 5. 2. 3. 4. — **Cd** : 1. 2 : Ὑπατίου τοῦ θαυματουργοῦ ἐπισκόπου Nov. 14.

— [9] (καὶ - ἐπαύσατο) *in marg. manu rec.* F. — [10] Ἐβόρι Cd. — [11] Σεβόρι Cd. — [12] Βιθλαπὰτ Cd. — [13] *Cf. notam 2, ad* S, *nov. 13* [2]. — [14] Μισθοφάρι Cd.

Nov. 14. σεπτῷ[7] ἀποστολείῳ τῷ ὄντι ἐν τοῖς Μιλτιάδου[8].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ὑπατίου ἐπισκόπου Γαγγρῶν τῆς Παφλαγόνων ἐπαρχίας. Οὗτος εἷς ἦν τῶν τιη' ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων· ἤνθησεν δὲ ἐκ Κιλικίας[1] καὶ ἐν Γαλάταις ἤθλησεν. Διὰ δὲ τὴν ἔνθεον αὐτοῦ καὶ ἐνάρετον πολιτείαν μεγάλα εἰργάσατο θαύματα, πολλὰ πλήθη τῶν ἑλλήνων προσαγαγὼν τῷ Χριστῷ. Οἶκον δὲ κατασκευάσας τοὺς ξένους ὑπεδέχετο· ἀλλὰ καὶ ἀσπάλακας τὴν
f. 80v. χώραν δηοῦντας λόγῳ ἡ|φάνισε· καὶ νύκτωρ διερχόμενος ὑπὸ λαμπάδων φωτὸς κατελάμπετο, καὶ ἁλμυρὸν καὶ πικρὸν ὕδωρ εἰς γλυκὺ μετεποίησε. Ἐπὶ Κωνσταντίου δὲ τοῦ υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως θηρίον[2] ποθὲν δράκων μέγας τῷ θησαυρῷ τῶν <βασιλικῶν[3]> χρημάτων ἐπεισῆλθεν καὶ τοσαύτην ἐποίει κατάπληξιν, ὡς μηδένα[4] κατατολμᾶν ἐκεῖσε προσελθεῖν· εἰ δέ τις καὶ προσῆλθεν, εὐθέως ἐθανατοῦτο, καὶ ἦν ἐν ἀπορίᾳ ὁ βασιλεύς. Ἀκούσας δὲ περὶ τοῦ ἁγίου, διαπρεσβεύεται πρὸς αὐτόν· καὶ ἐλθὼν ὁ ἅγιος καὶ πρὸς τὸ ταμεῖον πλησιάσας μόνος, ἀνοίγει ῥάβδῳ τὴν θύραν ἄνωθεν ἐχούσῃ σταυρὸν καὶ ταύτῃ τυπτήσας τὸν δράκοντα, ἐξήγαγε σύρων αὐτὸν ὥσπερ κῆτος[5] τῇ ῥάβδῳ περιειλούμενον· καὶ πυρκαιὰν κελεύσας γενέσθαι μεγάλην ἐν τῷ[6] φόρῳ, ἐκεῖ τοῦτον ἀκοντίσας κατέκαυσεν. Ὁ δὲ βασιλεὺς ἐκπλαγεὶς πρὸς τὸ μὴ τοιοῦτον παθεῖν ἄλλοτε τὸ αὐτοῦ ταμιεῖον, τὴν τοῦ ἁγίου εἰκόνα τῇ εἰσόδῳ αὐτοῦ ἀνεστήλωσεν. Οὗτος φθονούμενος παρὰ τῶν ἀθέων Ναυατιανῶν[7], τῶν καθ' ἑκάστην αὐτῷ ἐπιτρεχόντων, ὑπ' αὐτῶν ἀναιρεῖται· ἐνεδρευσάντων γὰρ αὐτῷ ἐν στενῷ καὶ ἐπὶ κρημνῷ τόπῳ, ἡνίκα παρελθεῖν ἔδει τὸν Ἀβραμιαῖον ἐκεῖνον γέροντα[8], ἄνδρες ὁμοῦ καὶ γυναῖκες λίθοις αὐτὸν ἔβαλον[9]. Ἡμιθανοῦς δὲ αὐτοῦ πεσόντος, γυνή τις ἐναγὴς καὶ ἀκάθαρτος, ὅλην τῆς αἱρέσεως πιοῦσα τὴν κύλικα, λίθον μέγαν λαβοῦσα τῷ κροτάφῳ[10] ἐπιφέρει καὶ τὸ λειπόμενον τῆς ζωῆς ἀφαιρεῖται· καὶ οὕτως ἐπληρώθη αὐτοῦ ἡ μαρτυρία[11].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θωμᾶ πατριάρχου.

4. Καὶ μνήμη Ἰουστινιανοῦ καὶ Θεοδώρας τῶν εὐσεβῶν βασιλέων. Τελεῖται δὲ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐν ἡμέρᾳ κυριακῇ[1].

5. Καὶ μνήμη[1] τοῦ ὁσίου πατρὸς ἡμῶν Φαντίνου τοῦ νέου θαυματουργοῦ. Ὃς[2] εἷλκε τὸ γένος 5
ἐκ[3] χώρας τῶν Καλαβρῶν τῶν πλησίον ὑπαρχόντων Σικελίας, Γεωργίου καὶ Βρυαίνης[4] γέννημα. Οὗτος ἐξ αὐτῶν τῶν σπαργάνων τῷ Θεῷ ἀφιεροῦται παρὰ τῶν φύντων[5] καὶ ὄγδοον ἄγων χρόνον τῷ τῶν μοναζόντων συναριθμεῖται συστήματι· 10
καὶ πᾶσαν ἀρετῆς ἰδέαν διελθὼν ἐρᾷτης τέλειος τῷ Θεῷ ἀναδείκνυται καὶ ἀγγέλοις ἀμι|λληθείς, θείων f. 81.
καὶ μεγάλων ἀποκαλύψεων καταξιοῦται, ἐπὶ εἴκοσιν ὅλας ἡμέρας μετέωρος γενόμενος τὸν νοῦν καὶ μηδενὸς αἰσθανόμενος τῶν ἀνθρωπίνων[6]· ὅθεν 15
ἐρημίαις τε καὶ ὄρεσιν ἐμφιλοχωρῶν, ἄτροφος ἐπὶ[7] πολὺ καὶ ἄποτος καὶ γυμνὸς ἐπὶ τεσσάροις χρόνοις διετέλεσεν. Ὅσαις δὲ ἐφόδοις αἰχμαλωσίας καὶ λεηλασίας[8] τοῦ ἀλιτηρίου τῶν Ἄφρων ἔθνους ἐπέπεσεν, οὐκ ἔστιν εἰπεῖν· ἑξήκοντα χρόνοις ὑπὸ 20
τοῖς αὐτῶν κακοῖς πιεζόμενος συνήλγει τοῖς κινδυνεύουσι. Μετὰ ταῦτα δὲ ἀπάρας τῆς ἐνεγκαμένης[9] καὶ συμπαραλαβὼν Βιτάλιον[10] καὶ Νικηφόρον, τῆς Πελοποννήσου[11] ἐπιβαίνει καὶ τῇ Κορίνθῳ προσφοιτᾷ, χρόνον συχνὸν πολλοῖς τῶν ἐκεῖσε 25
γενόμενος πρόξενος σωτηρίας. Αὐτόθεν τὰς Ἀθήνας καταλαμβάνει τὸ ἱερὸν καὶ ἅγιον τέμενος τῆς Θεοτόκου προσκυνήσων καὶ τοῦ τιμίου Ἀνδρέου τὸ λείψανον ἀσπασόμενος· ἐκεῖθεν εἰς Λάρισσαν καταντᾷ, καὶ ἱκανὸν χρόνον τῷ τοῦ ἁγίου Ἀχιλ- 30
λίου[12] προσεδρεύσας τάφῳ, τὸν συνήθη τῆς διδασκαλίας σπόρον ταῖς τῶν ἀνθρώπων ψυχαῖς κατασπείρας, ἐν Θεσσαλονίκῃ ἔρχεται, ἐπαπολαῦσαι γλιχόμενος τοῦ ναοῦ τοῦ μεγαλομάρτυρος Δημητρίου[13] καὶ τὴν πολυάνθρωπον ἐκείνην πόλιν τῆς 35
αὐτοῦ πολιτείας καὶ ἀρετῆς μέτοχον ἀναδεῖξαι. Οὗτος ὁ πολὺς ἐν ἀρεταῖς καὶ μέγιστος ἐν θαυματουργίαις Φαντῖνος ὀκτὼ διαρκέσας ἐν Θεσσαλονίκῃ χρόνους καὶ πανταχοῦ τῆς καὶ θαλάττης τὰς αὐγὰς τοῦ ἐνθέου αὐτοῦ βίου μέχρι καὶ τῆς βασι- 40
λευούσης ἀκοντίσας[14], ἐν γήρᾳ καλῷ καὶ πλήρης ἡμερῶν καταλύει τὸν βίον.

— [7] αὐτοῦ *add.* Sa. — [8] Μιλτιάδος S, Μελτιάδου Sa. *Cf. Febr. 11*[1].

2. — [1] ἑκκ..ἰλικίας S, ἐκ κ||||λικίας Sa. — [2] Sa, θυρὶ S. — [3] Sa, *om.* S. — [4] μὴ ἰδένα Sa. — [5] Sa, Μν, κῆτε S. — [6] τῇ S. — [7] Ναβατιανῶν Sa. — [8] ἄφνω *add.* Sa. — [9] ἔβαλλον Sa. — [10] αὐτοῦ Sa. — [11] τὸ μαρτύριον S. 45

4. — [1] τελεῖται κτλ. *om.* Sa.

5. — [1] *om.* Sa. τοῦ ὁσίου Φαντίνου *in marg. adscriptum in* S. — [2] οὗτος Sa. — [3] τῆς *add.* Sa. — [4] Βρυένης S, Βρυένης Sa. — [5] φυσάντων Sa. — [6] Sa, ἀνθρώπων S. — [7] ἐπὶ δ' χρόνοις Sa. — [8] λεκλασίας S. — [9] τοῖς ἐνεγκαμένοις S. — [10] Βητάλιον Sa. — [11] Πελοπονήσου Sa. — [12] Ἀχιλίου S. — [13] *ita* Sa, τὸ τοῦ μεγαλομαρτυρος Δημητρίου ναοῦ S. — [14] ἑξακοντίσας Sa. 50

Nov. 14. Γαγγρῶν τῆς Παφλαγόνων ἐπαρχίας. Οὗτος ὑπῆρχεν εἷς ἐκ τῶν τριακοσίων δέκα ὀκτὼ ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ Ἀρείου τοῦ ματαιόφρονος, ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου· κατειργάσατο δὲ θαύματα πολλά, ἐξ ὧν ἓν ὑπάρχει καὶ τοῦτο. Μετεκλήθη γὰρ παρὰ τοῦ βασιλέως Κωνσταντίνου τοῦ μεγάλου, ἐν τῷ ταμείῳ τῶν βασιλικῶν χρημάτων δράκοντος[1] ποθὲν εἰσερπύσαντος καὶ τὴν τοῦ ταμιείου εἴσοδον μὴ συγχωροῦντός τινι. Ὅστις αὐτὸν δι' εὐχῆς ἐθανάτωσε, προστάξας ἐν τῷ φόρῳ γενέσθαι πυρὰν καὶ ἀπὸ τοῦ ταμιείου τὸν δράκοντα ἀγαγὼν δακόντα τὸ ἄκρον τοῦ ῥαβδίου αὐτοῦ καὶ ἀκολουθοῦντα καὶ ἐμβαλὼν ἐν αὐτῇ κατέκαυσε[2], ὥστε θαυμάσαι πάντας. Διὸ ἐν τῇ εἰσόδῳ τοῦ ταμιείου ὁ βασιλεὺς τὴν εἰκόνα αὐτοῦ ἐζωγράφησεν. Ἐν δὲ τῇ ἰδίᾳ ἐκκλησίᾳ ὑποστρέψας παρὰ τῶν αἱρετικῶν Ναυατιανῶν[3] ἐνεδρευσάντων αὐτὸν διερχόμενον, ἐλιθοβολήθη· καὶ γυνή τις ἐξ αὐτῶν ἐπιτυχοῦσα τῷ ἁγίῳ κατὰ κεφαλῆς μετὰ λίθου τῆς ἐνθάδε ζωῆς ἀπήλλαξε, προεξένησε δὲ τῆς αἰωνίου ζωῆς. — 3. 4. — **M** : 1. — **Mv** : 1. — **Mr** : 1.

[1] δράκων Cd. — [2] καὶ κατακαύσαι Cd. — [3] Ναυτιανῶν Cd.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

1. Ἄθλησις τῶν ἁγίων[1] ὁμολογητῶν Γουρία, Σαμωνᾶ καὶ Ἀβίβου μαρτυρησάντων ἐν Ἐδέσῃ[2] τῇ πόλει. Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ βασι- 5
λέως[3] καὶ Ἀντωνίνου δουκός· ᾧτινι καὶ διαβληθέντες ὡς τοὺς ἐν τῇ φυλακῇ χριστιανοὺς θεραπεύοντες παρέστησαν, Γουρίας μὲν ὁρμώμενος ἀπὸ Σαρκιγειτνᾶς κώμης, Σαμωνᾶς δὲ ἀπὸ Γάναδος, τρόφιμοι[4] ἄμφω[5] Ἐδέσης καὶ[6] ἐν τάξει 10
ἱερέων ὑπάρχοντες. Μὴ πεισθέντες οὖν θῦσαι τοῖς εἰδώλοις κρεμῶνται ἕκαστος ἀπὸ τῆς μιᾶς χειρὸς ἐπὶ πέντε ὥρας· εἶτα κατενεχθέντες καὶ ἐπιμένοντες
f. 81v. τῇ ὁμολογίᾳ πάλιν κρε|μῶνται ἀπὸ τῶν ποδῶν· εἶτα ἐν λάκκῳ σκοτεινῷ ἀμφότεροι βάλλονται καὶ 15
μετὰ τοῦτο τὰς κεφαλὰς ἀποτέμνονται. Ὁ δὲ ἅγιος Ἄβιβος διάκονος ὢν ἐμαρτύρησεν ἐπὶ Λικινίου[7] διαβληθείς, ὅτι κατὰ τὰς κώμας περιερχόμενος ὑπαναγινώσκει τοῖς πιστοῖς τὰς ἱερὰς βίβλους ἐπιστηρίζων αὐτούς· ὅθεν προστάξει τοῦ βασιλέως 20
εἰς κάμινον ἐμβληθεὶς[8] τὸν τοῦ μαρτυρίου δρόμον ἐτελείωσε[9]. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι πλησίον τοῦ Φόρου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἡ σφαγὴ[1] τοῦ ἁγίου ἀποστόλου Ἰακώβου, ἀδελφοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ 25
θεολόγου. Ἰάκωβος ὁ ἀπόστολος ὑπῆρχε μὲν[2] ἐκ τῶν δώδεκα ἀποστόλων, ἦν δὲ ἀδελφὸς τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου· υἱὸς Ζεβεδαίου, τοῦ ἀπὸ τῆς[2] Γαλιλαίας. Μετὰ δὲ τὴν ἀνάληψιν τοῦ Κυρίου καὶ τὴν κοίμησιν τῆς ἁγίας[3] Θεοτόκου, ὁ μὲν 30
Ἰωάννης κατέλαβε τὴν Ἔφεσον διδάσκων ἐν αὐτῇ. Οὗτος δὲ ὑπολειφθεὶς εἰς τὰ Ἱεροσόλυμα καὶ τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ διελθὼν εὐαγγελιζόμενος τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐκρατήθη παρὰ Ἡρώδου τοῦ τετράρχου ἐν Καισαρείᾳ τῆς Παλαιστίνης καὶ ὑπ' αὐτοῦ σφαγεὶς ἐν μαχαίρᾳ Nov. 15.
ἐτελειώθη.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Δημητρίου. Οὗτος ὥρμητο ἀπὸ χώρας Δαβουδέως[1] ἀπεχούσης ἀπὸ Ἀμαπασοῦς μίλια κδ'[2]· κρατηθεὶς δὲ ἐπὶ Μαξιμιανοῦ καὶ Μαξιμίνου τῶν βασιλέων καὶ Πουπλίου ἄρχοντος καὶ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν πολλαῖς τιμωρίαις βασάνων[3] προσομιλήσας, τελευταῖον ξίφει τὴν κεφαλὴν ἀπετμήθη.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ[1] μαρτύρων Ἐλπιδίου, Εὐστοχίου, Μαρκέλλου καὶ τῶν σὺν αὐτοῖς ἀθλησάντων ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου. Οὗτος ὁ μακάριος Ἐλπίδιος εἷς τῆς συγκλήτου ὑπῆρχεν καὶ πρῶτος τελῶν τὰς παρὰ τοῦ βασιλέως τιμὰς καὶ τὰ μυστικὰ πιστευόμενος πράγματα καὶ νόμους γράφων. Παραστὰς δὲ τῷ παρανόμῳ Ἰουλιανῷ ὡς τοῦ Χριστοῦ θεράπων, τρίχινον ἱμάτιον περιβάλλεται σιδηροῦς τριβόλους ἐμπεπαρμένους ἔχων· καὶ πίσσαν καχλάζουσαν ἐπαλείφεσθαι ἄνωθεν ὁ μιαρώτατος προσέταττεν, ὅπως, φησίν, οἱ σιδηροῖ τρίβολοι ἐδραιω|θῶσι καὶ ἀμετάθετοι μένοιεν· f. 82.
εἶτα τύπτεται κατὰ πᾶν μέρος[2] τοῦ ἱματίου ὕπερθεν πρὸς τὸ διαδῦναι μέχρι τῶν ἐντοσθίων αὐτοῦ τὰς τῶν τριβόλων ἀκίδας καὶ δριμείας ὀδύνας παρέχειν[3]· μετὰ ταῦτα ἐν λάκκῳ βληθεὶς βαθυτάτῳ[4], καταχέεται καχλάζον θερμόν[5], ἕως πάντα τὰ ὀστᾶ αὐτοῦ γυμνὰ πᾶσιν ἐδείκνυτο. Καὶ αὖθις ἄσφαλτον καὶ θεῖον καὶ στέαρ καὶ πίσσαν ἐν λέβητι βληθεῖσαν[6] καὶ σφοδρῶς ἐκκαυθεῖσαν[7], ἑνός τε κράματος ἐξ ἑκατέρων γενομένου πολλοῦ, τοῖς ἤδη κατακαυθεῖσι μέλεσι διά τινων σιδηρολά-

1. — [1] καὶ ἐνδόξων τοῦ Χριστοῦ *add.* Sa. — [2] Ἐδέσση Sa. — [3] *om.* Sa. — [4] καὶ ὁ Ἄβιβος Sa. — [5] ἀπὸ Sa. — [6] *om.* Sa. — [7] Λικιννίου Sa. — [8] βληθεὶς Sa. — [9] ἐτέλεσε Sa.

2. — [1] (ἡ σφαγὴ) μνήμη Sa. — [2] *om.* Sa. — [3] ὑπεραγίας Sa.

3. — [1] Δαβούδιος S, Δ|||αβουδέως Sa. — [2] (ἀπεχούσης - κδ') *om.* Sa. — [3] βασάνω Sa.

4. — [1] τοῦ Χριστοῦ *om.* Sa. — [2] παντὸς μέρους Sa. — [3] τῷ μάρτυρι *add.* Sa. — [4] κατωτάτω Sa. — [5] Sa, καχλάζων θερμῶ S. — [6] βληθέντα Sa. — [7] ἐκκαυθέντα Sa.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 1. 3. — Ἄζη καὶ τοῦ ὁσίου Βαρούχ. — 2. — **P** : 1. Nov. 15.
3. 2. — Βαρούχ. — **Da** : 1 (= Ba). 3. 4. — **Db** : 1, mutil. — **F** : 1. 3. 4. — **Fa** : 1. 3. 4. — **B** : 1. 3. 2. — **Ba** : 1 : Γουρία, Σαμωνᾶ[1] καὶ Ἀβίβου. Οὗτοι οἱ ἅγιοι μάρτυρες Σαμωνᾶς καὶ Γουρίας ἤθλησαν ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Ἀντωνίνου[2] δουκός· διεβλήθησαν δὲ ὡς ἀναπείθοντες τοὺς ἀνθρώπους μὴ θύειν εἰδώλοις· καὶ εὐθὺς ἀναρτῶνται ἀπὸ τῆς μιᾶς χειρὸς ἑκάτερος, τῶν ποδῶν αὐτῶν κάτωθεν βαρουμένων· καὶ ἔμειναν ἀπὸ ὥρας τρίτης ἕως ὥρας ε' κρεμάμενοι· εἶτα κατενεχθέντες ἐν σκοτεινῷ τόπῳ τῆς φυλακῆς ἐναπορρίπτονται, τῷ ξύλῳ τοὺς πόδας περισφιγχθέντες· καὶ ἔμειναν ἐκεῖ λιμῷ καὶ δίψει καὶ δεσμοῖς πιεζόμενοι τετραμηνιαῖον χρόνον. Μετὰ ταῦτα ὁ μὲν ἅγιος Σαμωνᾶς ἀναρτᾶται τοῦ ἑνὸς ποδὸς καὶ ἐξαρθρωθεὶς τὸ γόνυ, κατὰ κεφαλῆς ἀπὸ ὥρας δευτέρης ἕως ὥρας ε' κρεμνᾶται. Τὸν δὲ ἅγιον Γουρίαν ἐαθέντα ὡς ἡμιθανῆ τὰ νῦν, τῇ ἑξῆς σὺν τῷ μακαρίῳ Σαμωνᾷ τὴν διὰ ξίφους οἱ διῶκται τιμωρίαν ἐπιφέρουσιν. Ἄβιβος δὲ ὁ ἅγιος, διάκονος ὢν τὴν τάξιν ἐπὶ Λικινίου[3] τοῦ βασιλέως διαβληθείς, κρεμασθεὶς τύπτεται καὶ ἀφεθεὶς πάλιν ἐρωτᾶται, καὶ μηδ' ὅλως εἴξας τῷ θελήματι τοῦ τυράννου, τῷ πυρὶ παραδίδοται, ἱμάντα ἔχων ἐπὶ τοῦ στόματος τρόπον φονέως· καὶ οὕτως ἐτέλεσεν αὐτὴν τὴν μαρτυρίαν. Λέγεται δὲ τοὺς ἁγίους τούσδε θαῦμα πεποιηκέναι τῶν πώποτε μνημονευομένων θαυμασιώτερον. Γυναῖκα γὰρ τῶν Ἐδεσηνῶν[4] Γότθος τις ἀποπλανήσας ἦν, ἐκ τῆς τῶν ἁγίων σοροῦ παρὰ τῆς μητρὸς εἰληφὼς καὶ τῇ ἑαυτοῦ γῇ οὐχ' ὡς εἴληφεν, νομίμως γὰρ αὐτὴν ἔγημεν, ἀλλ' ὡς δούλην ἀπαγαγὼν· παρὰ τῶν τῇ γυναικὶ τοῦ Γότθου (ἑτέραν γὰρ ἦν ἔχων ἐν τῇ γῇ αὐτοῦ) προσηκόντων ἐν μνήματι ζώσης βληθείσης, ἄρτι τῆς τοῦ Γότθου γυναικὸς ὑπὸ τῆς ἰδίας πάγης ἁλούσης καὶ θανούσης, κἀκεῖσε κατέ-

[1] Σαμονᾶ, *deinde* Σαμωνᾶ Ba. — [2] Ἀντωνίου Ba. — [3] Λικιννίου Ba. — [4] Αἰδεσηνῶν Ba.

Nov. 15. βων σκευῶν εἰς κόρον ἐπαντλεῖται. Εἶτα πάλιν μιγέντων σινήπεως καὶ ἅλατος ὄξους τε καὶ χολῆς καὶ θείου ἀπείρου καὶ ἀσφάλτου καὶ γενομένων ἓν κρᾶμα, κελεύεται τοῦτο πιεῖν ἐν ποτηρίῳ καὶ ἔπιε· καὶ μετὰ ταῦτα ἐνεχθέντων ἵππων ἀγρίων καὶ ταύρων, ὁμοίων δεσμευθῆναι[8] τὰς τρίχας τῆς κεφαλῆς[9] πρὸς τὰ κέρατα ταύρου ἑνός, συνδεθῆναί[10] τε[11] σχοινίῳ ἑνὶ τὸν τράχηλον αὐτοῦ τε καὶ τοῦ ταύρου καὶ σιδηρᾶν ἅλυσιν ἐπὶ τὸν πόδα Ἐλπιδίου καὶ ἐκ τοῦ ὄπισθεν ποδὸς τοῦ ἵππου. Ὡσαύτως Εὐστόχιόν τε καὶ Μάρκελλον ὁμοιοτρόπῳ σχήματι προσδήσαντες ἕκαστον πρὸς ἕκαστον ἵππον καὶ ταῦρον καὶ ὀξυτάτοις βέλεσι τιτρώσκοντες τὰ ζῷα ἀπήλαυνον πρὸς τὸ διασπάσαι[12] τῶν μαρτύρων τὰ μέλη βίᾳ συνελαυνόμενα. Τὰ δὲ ἦν πάγια ἑστῶτα καὶ ἀμετακίνητα. Ἐξέστη ταῦτα ἰδὼν ὁ Ἰουλιανός· ἔπειτα ῥοπάλοις καὶ βάκλοις ἀγρίοις συντρίβονται πάντα τὰ μέλη καὶ ἐν πυρὶ ῥίπτονται· οἵτινες τὰς ψυχὰς αὐτῶν ἀφῆκαν εἰς χεῖρας Θεοῦ μηνὶ σεπτεμβρίῳ κς'. Οἳ καὶ κατετέθησαν ἔν τινι τάφῳ ἐν τῷ Καρμηλίῳ ὄρει. Παραυτίκα δὲ σεισμοῦ καὶ κλόνου μεγίστου γεγονότος, ὥστε τὸ ὄρος ὅλον σαλεύεσθαι, κατελθὼν ὁ Κύριος μετὰ δυνάμεως καὶ δόξης πολλῆς ἡσπάσατο τοὺς μάρτυρας καὶ Μάρκελλον μὲν καὶ Εὐστόχιον μετέθηκεν ἐν ᾧ εὐδόκησε τόπῳ, τὸν δὲ μέγαν Ἐλπίδιον αὖθις ἀνακτησάμενος καὶ παραθαρρύνας πρὸς τὸν ἀγῶνα παρέπεμψεν· ὃν ἰδὼν Ἰουλιανὸς ἐπάγη[13] καὶ θυμῷ ὑπερζέσας ἐκέλευσε[14]. Καὶ ἁπλοῦται ὁ μέγας ἐκ τεσσάρων ἐπ' ἐδάφους καὶ ἀνενδότως μαστίζεται, ὀξάλμῃ[15] τε παμπληθεῖ[16] καταντλᾶται καὶ τριχίνοις ῥάκεσι τοὺς μώλωπας ἀνα|τρίβεται· καὶ καθίζουσιν f. 82'. αὐτὸν ἐπὶ σποδοῦ ζεούσης ἀνθρακιᾶς καὶ πυρὸς ἄνθρακας ἐπὶ τὴν κεφαλὴν ἐπιτιθέασι· καὶ ἦν πάν- 5 των ἀνώτερος. Εἶτα ἐπὶ τοῦ βασανιστηρίου ξύλου ἀναρτᾶται καὶ ξέεται εὐτόνως τοῖς σιδηροῖς ὄνυξι μέχρις αὐτῶν τῶν ὀστῶν, ὥστε φαίνεσθαι γυμνά· ἔπειτα πάλιν κελεύει ὁ αἱμοβόρος θυρεὸν σιδηροῦν ἔχοντα κατὰ τὸ μέσον ὀπὴν τεθῆναι ἐπὶ τὸν ὦμον 10 αὐτοῦ ἐπιτεθῆναί τε ἐπ' αὐτὸν[17] καμίνου δίκην ὕλην πυρὸς πολυτελῆ διὰ νάφθης καὶ πίσσης στυπείου τε καὶ κληματίδος καὶ ταύτην ἐξαίφνης ἐξάψαι πυρί, ὅπως τῆς φλογὸς εἰς ὕψος αἰρομένης διαφθαρῇ καὶ τακήσεται πᾶν τὸ πρόσωπον αὐτοῦ 15 καὶ τὰ αἰσθητήρια, κορακί τε σιδηρῷ κατὰ τῆς κεφαλῆς[18] αὐτοῦ τύπτειν προσέταξε μέχρις ἂν φασὶ[19] τοῦ ἐγκεφάλου τὸ ὑγρὸν διὰ τῶν ῥινῶν ἐκκενωθῇ· ἀλλὰ καὶ ταύτην τὴν βάσανον[20] χάριτι Θεοῦ γενναίως ἐνεγκὼν καὶ ὑπεράνω αὐτῆς[21] 20 γενόμενος, πολλοὺς πρὸς τὸν Χριστὸν ἐπεσπάσατο. Αὐτὸς δὲ ἐπὶ πλεῖον χαριτωθεὶς καὶ εὐξάμενος, πάντα τὰ σεβάσματα τῶν παρανόμων ὑφ' ἓν συνέτριψε καὶ κατηδάφισεν ἐκεῖνον αὐτὸν[22] καταισχύνας καὶ στηλιτεύσας ὡς ἀποστάτην[23]· ὃς 25 λίαν μανεὶς καὶ[24] κάμινον ἐκκαύσας, ἐνέβαλε τὸν ἅγιον ἐν αὐτῇ ὑμνοῦντα καὶ εὐλογοῦντα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν μέγιστα σημεῖα καὶ θαύματα[25] ποιοῦντα· καὶ οὕτως ἐτελειώθη.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ιϛ'.

Nov. 16. 1. Μνήμη τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ματθαίου, τοῦ καὶ Λευῖ καλουμένου καὶ ἀδελφοῦ Ἰακώβου τοῦ Ἀλφαίου. Οὗτος ἦν ὁ τελώνης ὁ ποιήσας δοχὴν μεγάλην τῷ Ἰησοῦ, 30 καθώς φησι τὸ εὐαγγέλιον. Οὗτος τὴν τοῦ ἁγίου Πνεύματος ἐπιφοίτησιν δεξάμενος καὶ τὸ θεῖον

— [8] *correxi*, ὁμοίως δεσμεῖται S, ὁμοίων δεσμεῖται Sa. — [9] Ἐλπίδιος *add.* Sa. — [10] συνδησάντων Sa. — [11] *om.* Sa. — [12] διασπᾶν Sa. — [13] ὁ Ἰουλιανὸς ἀπεπάγη Sa. — [14] *nonnulla excidisse patet: supple v. c.* τὸν ἅγιον αὖθις τιμωρηθῆναι. — [15] ἅλμη Sa. — [16] σὺν ὄξει *add.* Sa. — [17] αὐτῷ Sa. — [18] κορυφῆς Sa. — [19] φησὶ Sa. — [20] βασάννον S. — [21] ταύτην Sa. — [22] (ἐκεῖνον αὐτὸν) αὐτὸν ἐκεῖνον τὸν βασιλέα Ἰουλιανὸν Sa. — [23] καὶ ἐχθρὸν τοῦ Θεοῦ *add.* Sa. — [24] *om.* Sa. — [25] θαυμάσια Sa.

Nov. 15. θετο· οἱ ἅγιοι τοῦ Χριστοῦ ὁμολογηταὶ ἐπιστάντες αὐτῇ ἐν τῷ μνήματι καὶ χαρὰς πληρώσαντες, ὥσπερ ποτὲ τὸν Ἀμβακοὺμ ὁ ἄγγελος ἐξ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα βαστάσας ἀπήνεγκεν, οὕτω καὶ οὗτοι ταύτην τοῦ μνήματος καὶ τῆς δυσωδίας ἐκείνης ἐλευθερώσαντες, ἀπὸ τῆς τῶν Γότθων εἰς Ἔδεσαν 40 ἤγαγον καὶ τῷ σεπτῷ αὐτῶν ναῷ παρεστήσαντο. Ἐνδημήσαντι δὲ αὖθις τῷ Γότθῳ κατὰ τὴν Ἔδεσαν, φωράσαντες αὐτὸν οἱ ἅγιοι τοῦ τολμήματος, δικαίᾳ κρίσει τὸν ἄθλιον καθυπέβαλον. — 3. 4. — **T** : 1. — **L** : 1. 3. — Τοῦ ἁγίου μάρτυρος Ἀζῆ καὶ τοῦ ὁσίου Βαρούχ. — 2. — **O** : 1 (= Ba). 3. 4. — **Q** : 1. 3. 4. — **C** : 1. 3. — Τοῦ ὁσίου Βαρούχ. — 2. — **Cb** : 1. — Βαρούχ. — 2. — **Cc** : 1. 3. — Βαρούχ. — 2. — **Cd** : 1. 3. 2. — **M** : 1. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Κυντιανοῦ[5] ἐπισκόπου Σελευκείας. — Μνήμη τῶν 45 εὐσεβῶν βασιλέων Ἰουστίνου καὶ Θεοδώρας (Nov. 14[4]). — Θωμᾶ πατριάρχου Κωνσταντινουπόλεως τοῦ νέου (Nov. 14[3]). — 4. — **Mv** : 1. — Κυντιανοῦ[6] ἐπισκόπου Σελευκίας. — Ἰουστίνου καὶ Θεοδώρας. — Θωμᾶ. — Ὑπατίου ἐπισκόπου Γαγγρων (Nov. 14[2]). — 3. — **Mr** : 1.

Nov. 16. SYNAXARIA SELECTA. **Sa** : 1. — **H** : 1. — Βαρλαάμ (Nov. 19[2]). — **P** : 1. — Τῶν ἁγίων μαρτύρων Εὐψυχίου, Νεάρχου, Καρτερίου καὶ τῆς συνοδίας αὐτῶν. — **Da** : 1. — Βαρλαάμ. — **Db** : mutil., 50 Βαρλαάμ. — **F** : 1. — Βαρλαάμ. Οὗτος εἶλκε τὸ γένος ἐξ Ἀντιοχείας τῆς μεγάλης, πρεσβύτης τὴν ἡλικίαν, ὃν καὶ ὁ τίμιος Χρυσόστομος ἐγκωμίοις ἐτίμησεν. Διὰ τὴν εἰς Χριστὸν οὖν ὁμολογίαν, τῷ ἄρχοντι προσαχθεὶς ἐκ τοῦ δεσμωτηρίου, τύπτεται[1] βουνεύροις καὶ τοὺς ὄνυχας ἀποριζοῦται· εἶτα τῷ βωμῷ προσαχθεὶς ἁπλοῦται τὴν χεῖρα καὶ πῦρ ἐπ' αὐτῆς καὶ λιβανωτὸν δέχεται, δεδογμένον τοῦτο τῷ ἄρχοντι, ὡς, εἰ τοὺς ἄνθρακας μετὰ τοῦ λιβανωτοῦ τῳ βωμῷ[2] ἐπιρρίψειε, νομίζεσθαι αὐτὸν τοῖς εἰδώ- 55 λοις θυσίαν προσενεγκεῖν. Ὁ δὲ ἀνένδοτος εἱστήκει καὶ ἄτρεπτος, εὐτονωτέρας αὐτοῦ χαλκοῦ καὶ

— [5] Κεντιανοῦ M. — [6] Κυντιριανοῦ Mv.
[1] τύπτε F. — [2] βονῷ F.

εὐαγγέλιον τῇ ἑβραΐδι διαλέκτῳ συντάξας, τοῖς πρὸς ἀνατολὴν[1] Ἰουδαίοις εὐαγγελισάμενος καὶ ἐν τῇ Παρθυαίων[2] γῇ τὸν θεῖον λόγον κατέσπειρε· παρ' οἷς καὶ πολλὰ ἐργασάμενος θαύματα καὶ 5 πολλὰς ὑπὸ τῶν ἀπίστων ὑπομείνας θλίψεις, τὴν ἀποκληρωθεῖσαν αὐτῷ Ἱεράπολιν τῆς Συρίας τῷ τοῦ Εὐφράτου[3] μέρει διακειμένην[4] καταλαμβάνει. Καὶ ἐπειδὴ πρὸς ἀληθείας ἐπίγνωσιν ἐπανήγαγε καὶ τοὺς ἐν αὐτῇ καὶ τῆς ἑαυτοῦ κλήσεως ἀξίαν τὴν | Nov. 16. ἐργασίαν ἀπέδωκε[5] τῷ ποιήσαντι[6], πλήρης ἡμερῶν f. 83. γενόμενος τῶν τοῦ πνεύματος καὶ τὸν ἀποστολικὸν πληρώσας δρόμον, ἐν εἰρήνῃ πρὸς τὸν τῆς εἰρήνης ἀναλύει Θεόν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου, τῷ συγκειμένῳ[7] τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ[8].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ'.

1. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ θαυματουργοῦ ἐπισκόπου Νεοκαισαρείας. Οὗτος ἦν ἐπὶ Αὐρηλιανοῦ τοῦ βασιλέως, υἱὸς ὑπάρχων ἕλληνος[1]. Αὐτὸς δὲ γεγονὼς χριστιανὸς καὶ τὸ τῆς πίστεως μυστήριον διδαχθεὶς δι' ὀπτασίας παρὰ τῆς ὑπεραγίας Θεοτόκου καὶ τοῦ θεολόγου Ἰωάννου[2], ἔλαβε καὶ τὸ τῶν θαυματουργιῶν χάρισμα καὶ ἐκλήθη θαυματουργὸς ποιῶν Nov. 17. θαύματα πολλά[3], ἐξ ὧν εἰσι καὶ ταῦτα. Εἰς γὰρ Ἀλεξάνδρειαν ἀπελθὼν[4] καὶ κατηγορηθεὶς ὑπὸ πόρνης, ἐπιπέμπει αὐτῇ δαίμονα[5] καὶ πάλιν ἰᾶται. Εἶτα μὴ παρὼν ἐν Ἀμασείᾳ ὅμως διὰ τὴν αὐτοῦ ἀρετὴν χειροτονεῖται ἐπίσκοπος ὑπὸ Φαιδίμου τοῦ Ἀμασείας· λίθον τε μέγαν[6] ποιήσας περιπατῆσαι,

1. — [1] ἀνατολάς τε Sa. — [2] παρθυέων S, παρθ||||ῶν Sa. — [3] Εὐφράτη S. — [4] διακειμένη Sa. — [5] ἀποδέδωκε Sa. — [6] καλέσαντι αὐτὸν Sa. — [7] Sa, τοῦ συγκειμένου S. — [8] ταῖς αὐτοῦ πρεσβειαῖς *add.* Sa.
1. — [1] ἑλλήνων Sa. — [2] τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου Sa. — [3] πολλὰ θαύματα Sa. — [4] μαθημάτων χάριν *add.* Sa. — [5] Sa, δημοσίᾳ S. — [6] μέγα S.

σιδήρου φανείσης τῆς δεξιᾶς, ἕως οὗ τὴν ὑποκειμένην σάρκα τῆς χειρὸς τὸ πῦρ δαπανήσαν καὶ κατα- Nov. 16. φαγὸν εἰς τὴν γῆν ἐξέπεσεν· τῶν νευρῶν οὖν διασπασθέντων καὶ τῆς χειρὸς διατρηθείσης, αὐτὸς εὐχόμενος τὸ πνεῦμα τῷ Θεῷ παρέδωκεν. — **Fa** : 1. — Βαρλαάμ. — **B** : 1. — Βαρλαάμ. — **Ba** : 1. — Βαρλαάμ. — **T** : 1. — **L** : 1. — Βαρλαάμ. — **O** : 1. — Βαρλαάμ. — **Q** : 1. — Βαρλαάμ. — Μνήμη τοῦ ὀρθοδόξου βασιλέως Ἰουστινιανοῦ. Οὗτος ἄριστος ἐν πολέμοις φανεὶς καὶ ζηλωτὴς ὢν τῆς ὀρθοδόξου πίστεως, σύνοδον ἐν Κωνσταντινουπόλει πεποίηκεν καὶ τοὺς αἱρετικοὺς τελείως ἠφάνισεν. Οὗτος ἐποίησε τὰς νεαρὰς διατάξεις, ἐκφωνήσας καὶ τύπον περί τε ἐπισκόπων καὶ ξενοδόχων καὶ οἰκονόμων ὀρφανοτρόφων, ὥστε μὴ κληρονομεῖν πλὴν ἃ πρὸ τοῦ γενέσθαι ἐκέκτηντο. Οὗτος κτίζει τὴν μεγάλην ἐκκλησίαν πολλοῖς ἀναλώμασι καὶ χρήμασιν ἐκκενώσας ἐν αὐτῇ καὶ πολὺν ἄργυρον καὶ χρυσὸν καὶ πολλοῖς ἀναθήμασιν ἱεροῖς καὶ πέπλοις χρυσοϋφέσιν[3] ἀναθεὶς ἐν αὐτῇ. Οὗτος ἐν πάσῃ Αἰγύπτῳ καὶ Παλαιστίνῃ καὶ Συρίᾳ πάσῃ ἐκκλησίας ἐδείματο ἀριθμὸν ὑπερβαινούσας[4]. Οὗτος ὁ ἀοίδιμος βασιλεὺς τὸ ἐν τῷ ἁγίῳ ὄρει Σινᾷ φρούριον μεγαλοπρεπὲς ᾠκοδόμησεν καὶ τοὺς ἐν αὐτῷ θείους ναοὺς ἐντίμως οἰκοδομήσας ἐδόξασε· καὶ τὴν πανθαύμαστον ἐκκλησίαν τοῦ αὐτοῦ ἁγίου ὄρους τῆς ἁγίας κορυφῆς αὐτὸς ἐδείματο· καὶ χρημάτων εἰσόδους δαψιλῶς τοῖς ἐν τῷ Σινᾷ μοναστηρίοις καὶ πάσῃ τῇ Αἰγύπτῳ καὶ Παλαιστίνῃ διακειμένοις σεμνείοις καὶ παρθενῶσιν ἀφθόνως ἐχορήγησε. Οὗτος καὶ τὴν ἑορτὴν τῆς Ὑπαπαντῆς[5] παρέδωκε τῇ ἐκκλησίᾳ ἑορτάζειν. Ἐπὶ τοῦ αὐτοῦ Εὐλαλίου τινὸς ἀπὸ πλουσίων πένητος τελευτήσαντος καὶ γράψαντος τὸν βασιλέα κληρονόμον ἐν διαθήκαις καὶ παρακελευσαμένου ὥστε τὰς ἑπτὰ θυγατέρας ἀπόρους καταλειφθείσας καὶ μικρὰς ἀναθρέψαι αὐτὰς καὶ ἐκπροικῆσαι τὸν βασιλέα καὶ πάντα αὐτοῦ τὰ χρέη δοῦναι τοῖς δανεισταῖς καὶ τὰ γράμματα[6] αὐτοῦ ἀναρρύσασθαι, οὗτος τὴν διαθήκην ἐπὶ χεῖρας δεξάμενος ὁ βασιλεὺς αὐτίκα τὰς θυγατέρας τοῦ διαθεμένου ἐν τοῖς βασιλείοις ἀναγαγὼν καὶ βασιλικῶς αὐτὰς ἀναθρέψας καὶ ἐκπροικήσας βασιλικῶς καὶ τοῖς δανεισταῖς τὰ χρήματα ἐπὶ τὸ διπλάσιον δοὺς καὶ πάντα βασιλικῶς ἐκπληρώσας καὶ καταπλήξας ἐν τούτῳ πάντα ἀκούσαντα ἄνθρωπον, καὶ ἕτερα δὲ πλεῖστα διαπραξάμενος ἔργα μνήμης καὶ θαύματος ἄξια, καταλύει τὸν βίον (Nov. 14[4]). — **C** : 1. — Ἐλπιδίου κτλ. (Nov. 15[4]). — Βαρλαάμ. In margine ἄφες αὐτό. — **Cb** : 1. — Βαρλαάμ. — **Cc** : 1. — Ἐλπιδίου. — Βαρλαάμ. — **M** : 1. — **Mv** : 1. — Βαρλαάμ. — **Mr** : 1.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : 1. — **P** : 1. — **Da** : 1 (= Ba). 2 (= Ba). — **Db** : 1. Nov. 17. 2. — **F** : 1 : Γρηγορίου τοῦ θαυματουργοῦ ἐπισκόπου Νεοκαισαρείας. Οὗτος ὑπῆρχεν ἐπὶ Αὐρηλιανοῦ[1] τοῦ βασιλέως ἐξ ἑλλήνων γεννηθείς· τῇ δὲ τῶν κρειττόνων μερίδι εὐθὺς ἐξ ἀρχῆς προσθεὶς ἑαυτόν, τὴν ἀληθῆ καὶ κατὰ Χριστὸν πίστιν ἐπέγνω· καὶ προϊούσης τῆς ἡλικίας <τὸ>[2] τῆς εὐσεβείας αὐτῷ συνηυξάνετο· μεγέθει δὲ καὶ πλήθει θαυμάτων ἃ κατειργάσατο τὸ ἐπώνυμον ἔσχεν ὃ λέγεται. Ἔτι γὰρ ἐν τῇ σχολῇ συνήθως φοιτῶν ἐν Ἀλεξανδρείᾳ καὶ παιδείας μεταλαμβάνων τῆς κατὰ φιλοσοφίαν, ἑταιρικὸν γύναιον ἐξ οἰκήματος ἐπὶ διαβολῇ αὐτοῦ προσελθὸν καὶ δαίμονι διὰ τὴν συκοφαντίαν ληφθὲν καὶ εἰς γῆν σπαραττόμενον ἰάσατο διὰ προσευχῆς· καὶ τὴν Θεοτόκον ἅμα Ἰωάννῃ τῷ θεολόγῳ εἶδεν μυοῦντας αὐτὸν τὸ τῆς Τριάδος μυστήριον, καὶ μετὰ τὸ[3] ἐπίσκοπος χειροτονηθῆναι παρὰ Φαιδίμου[4] τοῦ τῆς Ἀμασείας προέδρου, ἐν τῷ ἀπιέναι πρὸς τὴν λαχοῦσαν ἐκκλησίαν καὶ μετὰ[5] τὸ ἀπελθεῖν, ἀκοῆς ἀνώτερα καὶ μείζονα πίστεως πεποιηκέναι λέγεται. Λίθον γὰρ βουνῷ παραπλήσιον διὰ προσευχῆς ἐκίνησε καὶ πρὸς ἕτερον μετήγαγε μέρος· ἔνθα καὶ τὸν νεωκόρον, ὅθεν διὰ προστάγματος τοῦ ἁγίου τὰ δαιμόνια

— [3] *casus ineptos non correxi.* — [4] ὑπερβαίνοντας Q. — [5] ὑποπαντῆς Q. — [6] γράμμα Q.
[1] Αὐριλλιανοῦ F. — [2] *supplevi, om.* F. — [3] τοῦτο *in marg. corr.* F. — [4] Φαιδήμου F. — [5] με F.

Nov. 17. ἐβάπτισε τὸν προσμονάριον τῶν εἰδώλων· καὶ ἀδελφῶν δύο διὰ λίμνην ὑπομαχομένων, ἐξήρανεν αὐτὴν καὶ τὴν ῥάβδον[7] πήξας ἔστησε ποταμόν[8], ἥτις καὶ ἐγένετο εἰς δένδρον μέγα. Καὶ ἄλλα μυρία ποιήσας ἐν τῷ μέλλειν ἐκδημεῖν, εὐχαρίστει[9] τῷ Θεῷ, ὅτι ἐν τῇ αὐτοῦ πόλει τοσούτους ἀπίστους κατέλιπεν ὅσους εὗρε χριστιανούς· καὶ οὕτως ἐτελειώθη. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ[10] μεγάλῃ ἐκκλησίᾳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου καὶ ὁμολογητοῦ Λαζάρου τοῦ ζωγράφου. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας τῶν εἰκονομάχων· ἔρωτι δὲ τῆς θείας τοῦ Χριστοῦ ἀγάπης τρωθείς, ᾑρετίσατο ἐκ παιδόθεν ὑπελθεῖν τὸν μονήρη βίον, χαίρειν εἰπὼν πάσῃ ματαιότητι, ἀκτημοσύνην μετερχόμενος καὶ ἐλεημοσύνης ἐπιμελούμενος πρὸς τῇ σκληραγωγίᾳ καὶ ἐγκρατείᾳ καὶ ἀγρυπνίᾳ. Ἐν τούτοις τοῖς μεγίστοις πλεονεκτήμασι διαλάμπων, τοῦ τῆς ἱερωσύνης τετύχηκεν ἀξιώματος. Πλεῖστα δὲ κολαστήρια καθυπέμεινεν οὐ μόνον παρὰ τῶν τὰ [1] Νεστορίου καὶ Εὐτυχοῦς καὶ Διοσκόρου φρονούντων, ὁμολογῶν τὸν Χριστὸν τέλειον Θεὸν καὶ τέλειον ἄνθρωπον, ἀσυγχύτως, ἀτρέπτως, ἀναλ-

— [7] αὐτοῦ *add.* Sa. — [8] ποταμοῦ ῥύμην ἀτάκτως φερομένην Sa. — [9] ηὐχαρίστη Sa. — [10] ἁγιωτάτη *add.* Sa.
2. — [1] τοῦ Sa.

Nov. 17. ἐξῆλθεν καὶ πάλιν εἰσῆλθεν, ἐφειλκύσατο πρὸς τὴν πίστιν· καὶ λίμνην θαλάσσῃ κυμαίνουσαν ἴσα, μίαν νύκτα διακαρτερήσας[6] ἐν προσευχῇ, ἄνικμον καὶ χέρσον ἀπέδειξε, τῶν δύο ἀδελφῶν τῶ ἀντιποιουμένων τῆς λίμνης τὸν κατ' ἀλλήλων συναποξηράνας θυμόν, πολεμικῶς καὶ ἀδιαλλάκτως ἐχόντων. Ἔτι δὲ καὶ τοῦ ποταμοῦ τὴν ἐπὶ τὰ πρόσω φορὰν ἐπέσχε, τῶν προσοίκων αὐτοῦ δεηθέντων, κατὰ τῆς διαβρόχου γῆς καὶ ὀμβρώδους[7] ἐρείσας τὴν βακτηρίαν καὶ προσθεὶς τῷ θαύματι[8] θαῦμα· τότε γὰρ ῥεῖθρον ὁρᾶται ἀναχαιτιζόμενον ὥσπερ δεδοικὸς προσψαῦσαι τῇ ῥάβδῳ· καὶ ἡ ῥάβδος οὖσα, ἤδη ξηρὰ καὶ τῆς φυσικῆς ὑγρότητος ἄμοιρος, εἰς εὐθαλὲς ἐγένετο δένδρον· καὶ οὐδὲ ὁ χρόνος λύμη τῷ θαύματι[8] γέγονεν· ἀλλὰ καὶ νῦν, ὥς φασι, τοῦ ποταμοῦ τὴν εἰς τὸ ἔμπροσθεν φεύγοντος πρόοδον καὶ τοῦ δένδρου τοσούτοις ἐξαρκοῦντος ἔτεσι, ἡ ἐν Θεῷ δύναμις τοῦ μεγάλου Γρηγορίου κηρύττεται. Καὶ πρὸς τούτοις ὁ ὑποκριθεὶς Ἑβραῖος τὸν νεκρὸν ἐν ὑπτίῳ καὶ ἐκτεταμένῳ σχήματι αὐτὸ τοῦτο[9] διὰ τῆς αὐτοῦ προσευχῆς κατὰ ἀλήθειαν γέγονεν ὅπερ ἐσχηματίζετο. Ἐνομίσθη δέ ποτε καὶ ἐν τῷ ὄρει ἑστὼς καὶ προσευχόμενος τοῖς διώκουσι δένδρον· καὶ λοιμὸν τοῖς ἀπίστοις ἐπήγαγε καὶ προσελθοῦσι τῇ πίστει τοῦ θανάτου ἀπήλλαξεν. Ἐν δὲ τῷ μέλλειν πρὸς Κύριον ἐκδημεῖν, εὐχαριστηρίους ἀφῆκε φωνάς, ὅτι τὴν πολυάνθρωπον πόλιν καὶ τοσοῦτον τῇ ἀπιστίᾳ πλήθουσαν ἐπὶ τῆς ἐναντίας τάξεως καταλέλοιπεν· ὅσους γὰρ εὗρε τοὺς παραδεξαμένους τὴν πίστιν, τοσούτους τοὺς παραμεμενηκότας τῇ ἀπιστίᾳ καταλέλοιπεν. — 2. — **Fa** : 1. 2. — **B** : 1. — **Ba** : 1 (= F). — 2 (Λαζάρου τοῦ ζωγράφου. Οὗτος νηπιόθεν τὸν μονήρη βίον ὑπέρχεται καὶ τὴν ζωγραφικὴν...). — **T** : 1. — **L** : 1. — **O** : 1. 2. — **Q** : 1. 2. — Ἐσαΐς (cf. Sept. 5[5]). — **C** : 1. — **Cb** : 1. — **Cc** : 1. — **M** : 1. 2. — Τοῦ ἁγίου Ζαχαρίου τοῦ σκυτοτόμου καὶ Ἰωάννου διήγησις πάνυ[10] ὠφέλιμος. Ἀνήρ τις τῶν κατὰ κόσμον περιφανῶν, ὄνομα αὐτῷ Ἰωάννης, πάντων καταφρονήσας καὶ τὸν λιτὸν μετερχόμενος βίον, ἔργῳ τὴν τῶν ἀγαθῶν πρὸς ἑαυτὸν ἐπεσπᾶτο[11] μετουσίαν, ἐπαγρυπνῶν ἐν ταῖς προσευχαῖς καὶ νήφων τοῖς ἐπίπροσθεν αὐτοῦ[12] κατορθώμασιν. Ὡς δὲ μετὰ τῶν ἄλλων καὶ τὸ ἐν ταῖς αὐλαῖς Κυρίου παννυχεύειν ἀπαραίτητον ἦν αὐτῷ, μιᾷ τῶν νυκτῶν ἀφίκετο πρὸς τὸν ἐπ' ὀνόματι τῆς τοῦ Θεοῦ Λόγου ἁγίας[10] Σοφίας ναόν, τὸν ἐν τῷ Βυζαντίῳ. Καὶ τὰς πύλας ἤδη κεκλεισμένας εὑρὼν ἐν τῷ πλησίον σκάμνῳ κεκμηκὼς ἀνεπαύσατο, ὑποψιθυρίζων καὶ[10] τὴν ἐκ τύπου αὐτοῦ ἀκολουθίαν. Καὶ ὡς ἐν τούτοις ἦν, λαμπηδόνα φωτὸς ἔξωθεν ἐρχομένην ὁρᾷ. Ἐπιστήσας δὲ τὸν ὀφθαλμὸν ἄνδρα τινὰ σεμνὸν ἑπόμενον τῷ φωτὶ κατενόει. Καὶ περιχαρὴς ὥσπερ ἐπὶ τῷ θεάματι γεγονώς, συνέστειλε μᾶλλον ἑαυτὸν γνῶναι θέλων τοῦ εἰσερχομένου[13] τὸ ἀποτέλεσμα. Ὡς δὲ λοιπὸν ἐκεῖνος ἤδη, τοῦ φωτὸς πορευομένου, πρὸς τὰς κεκλεισμένας πύλας ἀφίκετο, ἐπ' αὐτῇ τῇ φλιᾷ προσκλιθεὶς καὶ ἱκανῶς προσευξάμενος, ὑψοῦ τὰς χεῖρας μετεωρήσας, τὸ χριστοφόρον σημεῖον τὰς πύλας[14] διαχαράττει καὶ παραυτίκα σὺν τῷ φωτὶ ἀκώλυτως εἰσῆλθε. Καὶ πάλιν ἐπ' αὐτῷ τῷ ἐδάφει καταβαλὼν ἑαυτόν, ἐν ᾧ ἄνωθεν ἡ τῆς Θεομήτορος εἰκὼν ἐκτετύπωται, καὶ ἀναστάς, ὁμοιοτρόπως καὶ ταύτας τὰς πύλας ἠνέῳξε. Καὶ ἀνελθὼν ἐν τῷ νάρθηκι πρὸς τὰς ἀργυρέας πύλας, ἱκανῶς ὡς ἔδοξε τῷ ὁρῶντι, προσηύξατο. Καὶ πάλιν ὁρᾷ τὸν αὐτὸν διὰ τῆς σφραγῖδος καὶ ταύτας τὰς ὡραίας ὑπανοίξαντα πύλας καὶ φωτοειδῆ ὅλον ἐν τῷ σεπτῷ ναῷ εἰσερχόμενον καὶ κατὰ τὸ μεσαίτατον τοῦ ναοῦ ὑψοῦ τὰς χεῖρας διάραντα καὶ τὸν Θεὸν ἐξευμενιζόμενον[15]. Ὅτε δὲ τὰς εὐχὰς τῷ Θεῷ καλῶς[10] ἀπέδοτο, πάλιν νοστήσας τὸ ἔσχατον τοῦ ναοῦ καταλαμβάνει προαύλιον, τῶν πυλῶν πάλιν ὑπὸ[16] θείας ἐνεργείας αὖθις[10] ἀποκλεισθεισῶν. Ἵστατο οὖν ὁ ἱερὸς ἐκεῖνος ἀνὴρ ἀποσκοπῶν, ὡς ἔλεγεν, ὅποι τὴν πορείαν ἔχοιεν[17] ὁ τοῦ ναοῦ ἐξελθών. Ὡς δὲ λοιπὸν τὴν κατ' εὐθεῖαν ὁδὸν ἐβάδιζε, τούτῳ[18] μὴ ὀκλάσας ὁ Ἀβραμιαῖος ἐκεῖνος ἀνὴρ ἐπηκολούθει καταμαθεῖν βουλόμενος, ποῦ ἄρα ὁ τοῦ Θεοῦ ἱερὸς ἀποκρύπτεται μαργαρίτης. Ὡς δὲ τῆς ὁδοῦ μικρὸν ὑπεκκλίνας ὁ φαινόμενος πρὸς τὸ κάταντες τοῦ μάρτυρος Ἰουλιανοῦ τῶν βαθμίδων ἐγένετο, πρός τι σμικρότατον τῶν ἐκεῖσε οἴκημα ἐπιστὰς καὶ τὸ τῆς ἔνδον οὔσης γυναικὸς ὄνομα Μαρίας[19] καὶ σιγηρᾷ τῇ φωνῇ καλέσας καὶ τῇ χειρὶ κρούσας εἰσῆλθε, τό τε περιαστράπτον τὸν ἄνδρα φῶς[20] κατὰ τὴν ὁδὸν ὑπεξιὸν ἀνεχώρει καὶ ἐν ἀμφο-

— [6] θαλάσσης κυμένουσα ἴασα μια νυκτα διακατερίσας F, *corr. supra lin.* ἰάσατο μίαν νύκτα διακαρτερίσας. — [7] ὀμφόδους F. — [8] θαυτί F. — [9] τούτου F. — [10] *om.* Mv. — [11] ἐπεσπάσατο Mv. — [12] αὐτῶ Mv. — [13] ἐρχομένου Mv. — [14] ταῖς πυλαῖς Mv. — [15] ἐξευνιζόμενον Mv. — [16] τῆς *add.* Mv. — [17] ἔχει Mv. — [18] *om.* Mv. — [19] Μαρία M, Mv. — [20] φῶς τὸν ἄνδρα Mv.

λοιώτως, ἀλλὰ καὶ παρὰ τῶν βδελυκτῶν καὶ ἀνοσίων εἰκονοκαυστῶν πολλαῖς κα|τηκίσθη πληγαῖς καὶ βασάνοις, διά τε τὸ σέβεσθαι καὶ προσκυνεῖν τὰ τῶν ἁγίων σεβάσμια ἐκτυπώματα διά τε τὸ εὐφυῶς ζωγραφεῖν ταῦτα οἰκειοχείρως τοῖς πίναξιν καὶ οἷα βέλεσι τοὺς ἀλιτηρίους κατατοξεύειν. Οὗτος τὴν ἐπὶ τὴν πρεσβυτέραν Ῥώμην ὁδὸν στέλλεται ἀποστολικὴν ἐγκεχειρισμένος διακονίαν, τῶν πατρικῶν φημι καὶ[2] ἀποστολικῶν δογμάτων καὶ παραδόσεων ἕνεκεν· καὶ αὖθις ἐντεῦθεν μεγαλοπρεπῶς ὑποστρέφει· πάλιν δὲ εἰς τὴν αὐτὴν πορείαν πεμφθεὶς τῶν αὐτῶν ἕνεκεν[3] ὑποθέσεων[4], περὶ τὰ μέσα που τῆς ὁδοῦ τὴν τιμίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ παρέθετο. Τὸ μέντοι ἱερώτατον αὐτοῦ σῶμα τοῖς ποθοῦσιν ἀνακομισθὲν ἐν τῇ βασιλίδι τῶν πόλεων κατετέθη πέραν τοῦ ἄστεος, ἐν τῇ μονῇ τῶν Εὐάνδρου.

f. 83v. Nov. 17.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δερμοκαΐτου[1], τοῦ ἐν τῷ Ὀλύμπῳ ἀγωνισαμένου[2].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ'.

1. Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Πλάτωνος. Οὗτος ἦν ἐξ Ἀγκύρας τῆς πόλεως, χώρας τῶν Γαλατῶν, ἀδελφὸς τοῦ ἁγίου μάρτυρος Ἀντιόχου, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ[1]. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν προσήχθη Ἀγριππίνῳ τῷ ἡγεμόνι, νέος ὢν τὴν ἡλικίαν[2], τύπτεται ὑπὸ δώδεκα στρατιωτῶν[3], εἶτα ἁπλοῦται ἐπὶ κραββάτου χαλκοῦ πυρωθέντος πάνυ, ῥαβδιζόμενος ἄνωθεν· τοῦ δὲ σώματος αὐτοῦ μετὰ τὴν τιμωρίαν θαλεροῦ[4] καὶ ἥδιστόν τι ἀποστίλβοντος γενομένου[5], πολλοὶ ἐπίστευσαν εἰς τὸν Χριστόν· εἶθ' οὕτως σφαίραις πεπυρωμέναις τὰς μασχάλας καὶ τὰς πλευρὰς καταφλέγεται, ὥστε καπνὸν τῶν τε[5] ῥινῶν καὶ τοῦ στόματος ἀναδίδοσθαι. Εὐξαμένου δὲ τοῦ ἁγίου καὶ οὐρανίων δυνάμεων εἰπουσῶν τὸ ἀμήν, πολλοὶ τῶν περὶ τὸν ἡγεμόνα τοῦτο ἤκου-

Nov. 18.

— [2] (ἀποστολικὴν - φημι καὶ) *om.* Sa. — [3] *om.* Sa. — [4] χάριν *add.* Sa.
3. — [1] Δερμοκαΐτη Sa. — [2] ταῖς αὐτοῦ πρεσβειαῖς ὁ ... *add.* Sa.
1. — [1] (ἀδελφὸς - Διοκλητιανοῦ) ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ ἀδελφὸς τοῦ ἁγίου μάρτυρος Ἀντιόχου Sa. — [2] καὶ *add.* Sa. — [3] στρατιώτων δώδεκα Sa. — [4] γενομένου *add.* Sa. — [5] *om.* Sa.

τέροις ἐκείνοις ἡ οὖσα νὺξ ἐγνωρίζετο. Ἀλλὰ τὸ γύναιον ἐπιδραμὸν μετὰ τῆς φωταγωγοῦ λυχνίας ἀνάψαν τῷ εἰσελθόντι ἀνδρὶ προσήνεγκεν. Ὁ δὲ μήτε[21] τῇ κλίνῃ προσκλιθεὶς μήτ' ἄλλως πως τὸ σῶμα διαναπαύσας, πρὸς ἐργασίαν ἐτράπη· σκυτοτόμος γὰρ ἦν καὶ δερμάτων διαρραφεύς. Τότε ὁ ἐπακολουθῶν αὐτῷ ἀξιομνημόνευτος Ἰωάννης, ἀνερυθριάστως τῇ κέλλῃ προσέβαλε καὶ τῇ γῇ προσκλιθείς, δάκρυσι[22] τοῦ ἀοιδίμου[23] τοὺς πόδας κατέβρεχε· « Μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ, λέγων, ὅστις εἶ[24] καὶ τίς » ἡ ὑψηλὴ ἐργασία <ἣ εἰς[25]> τὸν Θεὸν δι' οὗ τὰς ἐξαισίους δυνάμεις, ἃς εἶδον, πεποίηκας. » Καὶ ὁ ταπεινόφρων ἐκεῖνος· « Συγχώρησον, γέρων, διὰ τὸν Κύριον· ἁμαρτωλός εἰμι ἄνθρωπος, μηδὲν ἀγαθὸν » ἐργασίας ἐπιφερόμενος· τίς γάρ εἰμι ὁ ἰδιώτης ἐγώ, ἢ πόθεν μεμάθηκα τυποῦσθαί τισι[26] κανονίζειν, » ἐπιδεὴς ὢν καὶ οἰκτρὰς[27] ἐπιστήμης[28] προσήλυτος[29]; Πεπλάνησαι, ἄνερ, πεπλάνησαι, φάντασμα » μᾶλλον ἰδὼν καὶ οὐκ ἀλήθειαν. » Τότε ὁ γέρων τοῖς δάκρυσι προσέθηκε δάκρυα, μὴ ἐνδοὺς ὁρκίζων εἰς τὸν Θεὸν εἰπεῖν τῶν ἀρετῶν[30] αὐτοῦ τὸ περίδοξον· « Εἰ μὴ γὰρ ἔργον τοῦτο τῆς προνοίας[31], τοῦ » γνωσθῆναι τὰ κατὰ σέ[32], οὐκ ἂν ἐγὼ ὁ ἐλάχιστος θεωρὸς τοιούτων μυστηρίων ἠξιώθην γενέσθαι. » Τότε ὑπὸ τῶν ὅρκων ὥσπερ στενούμενος ὁ ἀνὴρ ἀναστὰς ὅθεν ἐκάθητο καὶ μετάνοιαν πρῶτον τῷ γέροντι ποιησάμενος, οὕτως ἤρξατο λέγων· « Οὐδὲν ἕτερον ἐπὶ γῆς κατόρθωμα, μὰ[33] τὴν ἀλήθειαν, » κέκτημαι, ἀδελφέ μου, συγχώρησον, εἰ μὴ τὸ ταῖς ἁμαρτίαις μου συμφύρεσθαι καὶ τῆς σαρκὸς τὴν » εὐπάθειαν περὶ πολλοῦ ποιεῖσθαι. Ἐκ δὲ[34] τοῦ Θεοῦ μου τῆς ἀγαθότητος, ὀψέ ποτε τῆς γεέννης » τὸν φόβον ἐλογισάμενος[35], ταύτην ἣν ὁρᾷς ἀδελφὴν γυναῖκά ποτε προσαγόμενος, τὸ καθαρὸν τέως » τῆς σαρκὸς οὐκ ἐμόλυνα, ἀλλ' ἐξίσου τῇ ἀγνείᾳ στοιχήσαντες, ὡς στειρευούσῃ ταύτῃ τὸ δρᾶμα τοῖς » γνωρίμοις ἐναπεκρύψαμεν καὶ μέχρι τῆς δεῦρο διὰ τὸν πόθον τοῦ πλάσαντος τῆς ῥυπαρᾶς μίξεως » καθαρεύομεν. Προσθήσω δέ σοι καὶ ἕτερον διὰ τὴν τοῦ ὅρκου ἀσφάλειαν. Ὁ ἐμὸς ἅπας βίος οὐδὲν » πλέον, μὰ τὴν ἀλήθειαν, εἰ μὴ τριμήσιον ἕν· καὶ τοῦτο μεταχειριζόμενος δέρμασι κοπιῶ ἐργαζόμενος » καὶ τὴν ἐκ τούτου πρόσοδον ἰσοτάλαντον τίθημι τὸ πρῶτον καὶ τιμιώτερον τῷ Χριστῷ· τῇ δὲ χρείᾳ τῇ » ἡμετέρᾳ[36] τὸ δεύτερον. Καὶ οὕτως ἀεὶ συντηρούμενος, τὸν κριτὴν καθ' ἑκάστην καὶ τῶν φορολόγων » πνευμάτων τὰς ἐφόδους φαντάζομαι. » Καὶ συμπεράνας ὧδε τὸν λόγον, ἀλλήλους κατασπασάμενοι καὶ πρὸς γῆν κατανεύσαντες, ἐν εἰρήνῃ τῆς κέλλης ὁ ἱερὸς ὑπανεχώρει ἀνήρ. Καὶ ὁ μὲν ἀπελθὼν ἐν ᾧ τὴν ξενίαν ἐκέκτητο, τῷ Θεῷ ηὐχαρίστει ἐν οἷς τεθέατο[37] μεγαλείοις. Ὁ δὲ θαυμάσιος ἐκεῖνος σκυτεὺς[38] καὶ ἀληθῶς ἀφιλόκομπος, τῆς ἀνθρωπίνης δόξης φεύγων τὸ δέλεαρ, μετανάστης τῆς κέλλης ἐγένετο, ἄγνωστος πᾶσι τὸ παράπαν γενόμενος. — Ὁ ὅσιος Λογγῖνος ἐν εἰρήνῃ τ. — Ὁ ἅγιος Γεννάδιος πατριάρχης Κωνσταντινουπόλεως ἐν εἰρήνῃ τ. (Nov. 20[2]). — Ὁ ἅγιος Μάξιμος πατριάρχης Κωνσταντινουπόλεως ἐν εἰρήνῃ τ. (Nov. 20[2]). — Ὁ ὅσιος Ἰουστῖνος ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2. — Ζαχαρίου. — Ἰωάννου διήγησις ὠφέλιμος. — **Mr** : 1.

Nov. 17.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 1. 2. 4. — **P** : 1. 2. 4 : Τῶν ἁγίων μαρτύρων Ζαχαρίου καὶ Ἀλφαίου καὶ Ζα(κ)χαίου. — **Da** : 1. 2. 4. 3. — **Db** : 1. 2. 4. 3. — **F** : 1. 2. 4. 3. — **Fa** : 1. 3. 4.

Nov. 18.

— [21] μηδὲ Mv. — [22] *om.* Mv. — [23] τοῦ ἀοιδίμου δάκρυσι Mv. — [24] εἶης M. — [25] ἡ εἰς *add.* Mv. — [26] καὶ *add.* Mv. — [27] εἰκτρὰς Mv. — [28] ἐργασίας Mv. — [29] ἐπειλημμένις Mv. — [30] ἀγαθῶν Mv. — [31] ἦν *add.* Mv. — [32] ἔλεγεν *add.* Mv. — [33] *om.* Mv. — [34] ἐκ δὲ τῆς Mv. — [35] λογισάμενος Mv. — [36] τῇ δε ἡμετέρᾳ χρείᾳ Mv. — [37] τεθέαται Mv. — [38] σκυτεὴς Mv.

Nov. 18. σαν· καὶ εὐθὺς ὁ τόπος, ἐν ᾧ συνεκροτεῖτο τῷ Ἀγριππίνῳ τὸ [6] βῆμα, κλονεῖται καὶ τῆς φρικτῆς ἐπισκοπῆς τοῦ δεσπότου Χριστοῦ πρὸς τὸν ἅγιον μηνυτὴς γίνεται· εἶτα ἀπὸ τοῦ νώτου ἐν σχήματι λώρων τὴν δορὰν ἀφαιρεῖται καὶ τὰς σάρκας ξέεται καὶ τὰς παρειὰς καὶ μηροὺς καὶ γόνατα καὶ κνήμας καὶ ἀστραγάλους· καὶ τότε τὴν διὰ ξίφους δέχεται τελευτήν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ αὐτοῦ μαρτυρείῳ τῷ ὄντι ἐν τοῖς Δομνίνου [7] ἐμβόλοις.

f. 84. | **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ῥωμανοῦ καὶ τοῦ σὺν αὐτῷ νηπίου. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ βασιλέως· διὰ δὲ τὸν ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως ζῆλον, εἰσελθεῖν βουλόμενον τὸν ὕπαρχον Ἀσκληπιάδην εἰς τὸν τῶν εἰδώλων ναόν, κατέσχε διελέγχων, « Οὔκ εἰσι, λέγων, τὰ εἴδωλα » θεοί, » καὶ ὅτι « ὑπερέχουσιν οἱ χριστιανοὶ τῶν » ἐν ἀσεβείᾳ ζώντων. » Τύπτεται οὖν παρ' αὐτοῦ εἰς τὸ στόμα καὶ ἀναρτηθεὶς ξέεται τὰς παρειάς. Ἠνέχθη δὲ καὶ παιδίον, τοῦ ἁγίου τοῦτο αἰτησαμένου, εἰς ἔλεγχον τοῦ ὑπάρχου· καὶ ἐρωτηθέν, ποῖον δεῖ σέβειν Θεόν, τὸν τῶν χριστιανῶν εἶπεν· καὶ τυπτηθὲν τὴν κεφαλὴν ἀπετμήθη. Ὁ δὲ ἅγιος Ῥωμανὸς τὴν γλῶτταν ἐκτέμνεται καὶ μετὰ τὴν τομὴν φθέγγεται παραδόξως, εὐχαριστῶν τῷ Θεῷ. Ἐμφανισθέντος οὖν τοῦ κατὰ τὸν ἅγιον παραδόξου θαύματος Μαξιμιανῷ τῷ βασιλεῖ, προστάξει αὐτοῦ ἐν τῇ εἱρκτῇ ὁ ἀδάμας διὰ πνιγμονῆς τῆς προσκαίρου ζωῆς ἀπολύεται· καὶ τὸν τοῦ μαρτυρίου κομίζεται στέφανον. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι ἐν τοῖς Ἐλεβίχου.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις ἑτέρου [1] Ῥωμανοῦ. Ὃς ἐκ Παλαιστίνης ἔλκων τὸ γένος καὶ τῆς ἐν Καισαρείᾳ παροικίας διάκονος ὢν καὶ ἐφορκιστής, ἤθλησεν ἐν Ἀντιοχείᾳ ἐπὶ Διοκλητιανοῦ. Οὗτος τοὺς ὑπὸ τοῦ δέους ἐπὶ τὴν εἰδωλικὴν [2] πλάνην κατασυρομένους λόγοις ἐπιπληκτικοῖς ἀνείργει [3], τοῦ θείου πάντας ὑπομιμνήσκων φόβου. Διὸ καὶ αὐτόκλητος τῷ δικαστῇ παρέστη τὴν ἄθεον πλάνην διελέγχων μεγάλῃ τῇ φωνῇ· ὅτε καὶ ἀναρπασθέντα ἐκέλευσεν ὁ δικαστὴς τῷ πυρὶ διαφθαρῆναι. Ὁ δὲ βασιλεὺς [4] Διοκλητιανὸς τοῦτο γνούς, τοῦ μὲν πυρὸς ἀπήγαγε, τὴν δὲ τῆς αὐτοῦ γλώττης ἐκκοπὴν προστάσσει γενέσθαι· ἀλλ' ὁ μάρτυς καὶ τὴν γλῶτταν ἀφαιρεθεὶς γεγωνότερον ἐλάλει καὶ παρρησίᾳ τὸν λόγον ἐκήρυττεν. Ἐπὶ πολὺ δὲ ταῦτα πράττων ἐν τῇ εἱρκτῇ ἐμβάλλεται καὶ ἐν πέντε κεντήμασι τοὺς πόδας παραταθείς, νεύματι τῶν κρατούντων ἐν αὐτοῖς τοῖς δεσμοῖς βρόχῳ περιβληθεὶς ἀποπνίγεται.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Ζακχαίου διακόνου τῆς ἐν Γαδδάροις ἐκκλησίας. Οὗτος διά τε τὸ βραχὺ τῆς ἡλικίας | καὶ διὰ τὴν κατὰ πάντα f. 84v. τὸν βίον ὁμοίωσιν ἐκείνῳ τῷ ἐν εὐαγγελίοις Ζακχαίῳ [1] οὕτως ὀνομάζεται· ἤχθη οὖν ἐπὶ τοῦ βήματος σιδηροῦν καὶ βαρὺν κλοιὸν φέρων ἐπὶ τοῦ τραχήλου. Καὶ ἐρωτηθεὶς καὶ ἀμετάθετος μείνας τῆς εἰς Χριστὸν πίστεως, δειναῖς καὶ ἀπανθρώποις ὑποβάλλεται κολάσεσι· καὶ χαλεπὰς ὑπομείνας αἰκίας, δεσμοῖς ἀναλαμβάνεται καὶ ὑπὸ τέσσαρα κεντήματα τοῦ ξύλου ἐμβάλλεται νυχθήμερον ἐν τούτῳ [2] πιεζόμενος καὶ κατατεινόμενος. Μετὰ δὲ τούτων προσήχθη τῷ βήματι καὶ ὁ θαυμάσιος Ἀλφειὸς πλήρης ὑπάρχων Πνεύματος θείου· ὃς μάστιξιν ἅπαν τὸ σῶμα καταξαίνεται καὶ τὰς πλευρὰς κατακαίεται καὶ τέλος τῷ συναγωνιστῇ τὰ ὅμοια πεισόμενος [3] τῇ εἱρκτῇ ἐγκλείεται, τῷ κολαστηρίῳ καὶ αὐτὸς [4] ξύλῳ [5] νυχθήμερον τανυσθείς· καὶ τῇ ἕωθεν τὴν διὰ ξίφους δέχονται τιμωρίαν ἀμφότεροι.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ'.

Nov. 19. **1.** Μνήμη τοῦ ἁγίου προφήτου Ἀβδιοῦ. Οὗτος δοῦλος Κυρίου ἑρμηνεύεται ἢ ἐξομολογούμενος. Ἦν δὲ ἐκ τῆς Συχὲμ ἀγροῦ Βηθαχαράμ. Μαθητεύσας δὲ Ἠλίᾳ τῷ μεγάλῳ προφήτῃ καὶ πολλὰ δι' αὐτὸν ὑπομείνας περισώζεται. Οὗτός ἐστιν ὁ τρίτος πεντηκόνταρχος οὗ ἐφείσατο Ἠλίας καὶ κατέβη πρὸς Ὀχοζίαν. Μετὰ ταῦτα ἀπολιπὼν τὴν λειτουργίαν τοῦ βασιλέως προεφήτευε· καὶ ἀποθανὼν ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Βαρλαάμ. Οὗτος ὑπῆρχεν ἐξ Ἀντιοχείας ἤδη πρεσβύτης τὴν ἡλικίαν. Διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν τῷ ἄρχοντι προσαχθεὶς τύπτεται πρῶτον βουνεύροις καὶ τοὺς ὄνυχας ἀνασπᾶται. Εἶτα τῷ

— [6] δικαστικὸν *add.* Sa. — [7] Δομνήνου Sa.
3. — [1] ἁγίου μάρτυρος *add.* Sa. — [2] τῶν εἰδώλων Sa. — [3] ἀνεῖργε Sa. — [4] *om.* Sa.
4. — [1] (ἐκείνῳ - Ζακχαίῳ) *om.* Sa. — [2] τούτων S, Sa. — [3] πεισσόμενος S. — [4] *om.* Sa. — [5] ξύλων Sa.

Nov. 18. 2. — **B** : 1. 2. — **Ba** : 1. 2. 4. 3. — **T** : 1. — **L** : 1. — Ἀβδιοῦ (Nov. 19[1]). — **O** : 1. 2. 4. 3. — **Q** : 2. 4. 3. — **C** : 1. 2. 4. — **Cb** : 1. 2. — **Cc** : 1. 2. 4. — **M** : 1. 2. — Ἐρωτηθὲν τὸ ἅγιον νήπιον παρὰ τοῦ ἐπάρχου ποῖον σέβει Θεὸν καὶ εἰπὸν τὸν Χριστὸν ξ. τ. — 3. 4 (Ζακχαίου καὶ Ἀλφαίου). — **Mv** : 1. 2. — Τὸ ἅγιον νήπιον κτλ. — 3. 4. — **Mr** : 1. 2.

Nov. 19. SYNAXARIA SELECTA. **Sa** : 1. 2. add. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ αὐτοῦ τῇ οὔσῃ πλησίον τοῦ Δευτέρου, ἥτις ἐπιλέγεται τοῦ Παναρέτου. — 3. 4. 5. 6. — **H** : 3. 5. 6. — **P** : 3 (Ἀζίου). — 5. — Δασίου (Nov. 20[1]), Παγχαρίου, Ἄζη (iterum). — **Da** : 1. 3. 4 (Ἀγαπυτοῦ). — **Db** : 1. 3. 4. — **F**: 1. 3. 4. — **Fa** : 1. 3. 4. — **B** : 1. — **Ba**: 1. 3. 4. (f. 125v, manu recent. : Τοῦ ἁγίου μάρτυρος Βαρλαὰμ ζήτει εἰς ιϛ' τοῦ αὐτοῦ μηνός). — **T** : 1. — **L** : 1 (Τὸ συναξάριον Ἀβδιοῦ ζήτει ὄπισθεν). — **O** : 1. 3. 4. — **Q** : 1. 3. 4. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Σίμωνος. Οὗτος ἦν ἐκ τῆς Καλαβρῶν χώρας ἔκ τινος μονῆς ἁγίας καὶ θαυμαστῆς· ἐξ ἧς μονῆς μοναχοὶ ἐν διακονίᾳ σταλέντες καὶ παρὰ τὴν θάλασσαν γεγονότες, Ἀγαρηνοὶ διερχόμενοι ἔλαβον αὐτοὺς αἰχμαλώτους ἐν Ἀφρικῇ. Ὁ δὲ τοῦ κοινοβίου πατὴρ βουλόμενος

βωμῷ προσαχθεὶς ἁπλοῦται τὴν χεῖρα καὶ πῦρ ἐπ' αὐτῇ καὶ λιβανωτὸν δέχεται, δεδογμένον τοῦτο τῷ ἄρχοντι, ὡς, εἰ τοὺς ἄνθρακας μετὰ τοῦ λιβανωτοῦ τῷ βωμῷ ἐπιρρίψειε, νομίζεσθαι αὐτὸν τοῖς εἰδώλοις θυσίαν προσενεγκεῖν. Ὁ δὲ ἀνένδοτος εἱστήκει καὶ ἄτρεπτος, εὐτονωτέρας αὐτῷ [1] χαλκοῦ καὶ σιδήρου φανείσης τῆς δεξιᾶς, ἕως οὗ τὸ πῦρ τὴν ἐπικειμένην σάρκα τῆς χειρὸς δαπανῆσαν καὶ καταφαγὸν εἰς τὴν γῆν ἐξέπεσε, καταστραφέντος αὐτοῦ [2].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου καὶ θαυματουργοῦ Ἄζη. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ βασι- f. 85. λέως ὁρμώμενος ἐκ τῆς χώρας | τῶν Ἰσαύρων, στρατιώτης τὴν τάξιν. Καταλιπὼν οὖν τὴν στρατείαν ἐμάκρυνεν ἐν [1] ἐρήμῳ σχολάζων νηστείαις καὶ εὐχαῖς, ἔνθα πολλὰς ἰάσεις καὶ θαυμάτων ἐνεργείας ἐτέλεσεν. Ὑπό τινων δὲ κυνηγῶν μηνυθείς, παρέστη τῷ Διοκλητιανῷ καὶ τὴν εἰς Χριστὸν πίστιν ὁμολογήσας, παρεδόθη Ἀκυλίνῳ τῷ ἐπάρχῳ μετὰ τῶν ρν' στρατιωτῶν τῶν ἐπὶ τῇ συλλήψει αὐτοῦ ἀποσταλέντων, πεπιστευκότων ἤδη καὶ αὐτῶν τῷ Χριστῷ, θαυματουργήσαντος τοῦ μάρτυρος ἐν τῷ ἐπανιέναι αὐτοὺς καὶ διὰ προσευχῆς ὕδωρ ἐξαγαγόντος καὶ διψῶντας τούτους ποτίσαντος. Τοῦ δὲ ἐπάρχου [2] κατὰ τὸν τόπον γενομένου καὶ τὸν ἅγιον Ἄζην εἰς τὴν τῶν λοιπῶν ἔκπληξιν [3] πολλαῖς νιφάσιν ὑποβαλόντος πληγῶν καὶ ἐκ τῶν τριχῶν ἀναρτήσαντος [4] καὶ σιδηροῖς ὄνυξι ξέσαντος [5] καὶ ἐμβαλόντος [6] εἰς κάμινον πυρός, ἐπεὶ ἡ φλὸξ ἀπεσβέσθη καὶ ὁ ἅγιος ἔμεινεν ἀβλαβής, ἥ τε γυνὴ καὶ ἡ θυγάτηρ τοῦ ἐπάρχου [7] προσῆλθε τῇ πίστει. Τότε ὁ [8] ἔπαρχος [9] ἀποτμηθῆναι πρότερον τὰς κεφαλὰς τῶν ρν' στρατιωτῶν προστάξας, μεθ' ὧν καὶ τῆς ἑαυτοῦ γυναικὸς καὶ τῆς θυγατρός, ὕστερον τὸν ἅγιον τύψας σφοδρῶς καὶ αὐτὸν διὰ ξίφους τελειωθῆναι ἐκέλευσε.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀγαπίου. Οὗτος ἦν ἐν Καισαρείᾳ [1] τῆς Παλαιστίνης, Μαξιμίνου Αὐγούστου αὐτόθι τότε ἐνδιατρίβοντος καὶ Οὐρβανοῦ [2] δουκός, ἀνὴρ σωφροσύνῃ καὶ ἐπιεικείᾳ βίου διαπρέπων. Οὗτος θηρίοις βορὰ παρεβάλλετο [3] ἀγόμενος καὶ περιαγόμενος καὶ μέσον πομπεύων τοῦ σταδίου, διαβολῆς οὐδὲν ἔχων σημεῖον ἢ μόνον [4] ὅτι χριστιανὸς ὑπάρχει. Ὁ δὲ Μαξιμῖνος ὁρῶν ἄρκων καὶ παρδάλεων βορὰν τὸν ἅγιον γενησόμενον, ἔχαιρε καὶ ἐσκίρτα, τοῦ μάρτυρος ἐπιβωμένου καὶ λέγοντος τῷ λαῷ·

2. — [1] Sa, αὐτοῦ S. — [2] τελεῖται δὲ *add.* Sa *inter* Synaxaria selecta.
3. — [1] τῇ *add.* Sa. — [2] ὑπάρχου Sa. — [3] καὶ καταπτόησιν Sa. — [4] ἀναρτήσαντα S. — [5] ξέσαντα S. — [6] ἐμβαλλόντος S. — [7] ὑπάρχου S, Sa. — [8] *supra lin.* Sa. — [9] ὕπαρχος S, Sa.
4. — [1] ἐκ καισαρείας Sa. — [2] *corr.*, *prius* Οὐργανοῦ S. — [3] περιεβάλετο S, Sa, *correxi ex* Eusebii Mart. Palaest. *VI*, 5. — [4] *om.* Sa.

τοὺς μοναχοὺς ἐκ τῆς αἰχμαλωσίας ἀνακαλέσασθαι, στέλλει τὸν ὅσιον Σίμωνα πρὸς ἀνάρρυσιν τῶν μοναχῶν. Ὁ δὲ ἀπελθὼν ἐν τῇ πόλει, ἐν ᾗ οἱ ἀδελφοὶ κατείχοντο, περιτυγχάνει ἑνὶ τῶν μοναχῶν καὶ περιπτυξάμενος αὐτὸν μετὰ δακρύων ἠρώτα· « Ποῦ εἶ, ἀδελφέ μου; » Ὁ δέ· « Ἄνθρωπος ἐχθρὸς τοῦ » Θεοῦ ἠτόρασέ με, πάτερ, καὶ καθ' ἑκάστην βιάζει με τοῦ μαγαρίσαι. Ἀλλ' ἐλπίζω εἰς τὸν Θεὸν καὶ εἰς » τὰς ἁγίας εὐχάς σου, τοῦτο οὐ μὴ ποιήσω. » Ὡς οὖν ταῦτα ὡμίλει, ἰδοὺ καὶ ὁ Σαρακηνὸς [1] ἐρχόμενος, καὶ ὡς εἶδεν αὐτὸν τῷ μοναχῷ ὁμιλοῦντα, ὑβρίσας τὸν ὅσιον, ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ῥαπίσαι αὐτόν, καὶ εὐθέως ἔμεινεν ἡ χεὶρ αὐτοῦ ξηρὰ καὶ ἀνενέργητος. Ἐλθόντος οὖν καὶ ἑτέρου βαρβάρου καὶ βουλομένου τὸ αὐτὸ ποιῆσαι, παρελύθη καὶ ἡ αὐτοῦ δεξιά. Ἰδόντες οὖν καὶ οἱ λοιποὶ Ἀγαρηνοὶ τὸ γεγονὸς σημεῖον, ἁρπασθέντα [2] τὸν ἅγιον ἀπήγαγον πρὸς τὸν ἄρχοντα αὐτῶν, ὃν καλοῦσι τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν ἀμεριμνῆ [3], λέγοντες· « Ὁ μοναχὸς οὗτος μάγος ἐστὶν καὶ διὰ τῆς μαγικῆς αὐτοῦ τέχνης καὶ » τοὺς βουλομένους αὐτὸν ῥαπίσαι ἀπεξήρανεν αὐτῶν τὰς δεξιάς. » Ταῦτα ἀκούσαντες οἱ τῷ ἄρχοντι συγκαθεζόμενοι γέροντες, οἱ καὶ μονομάρτυρες λεγόμενοι, ἀπεκρίθησαν· « Ἐάν ἐστι μάγος, τὰς ξηραν- » θείσας χεῖρας οὐ δύναται ἰάσασθαι· εἰ δὲ ποιήσει εὐχὴν κατενώπιον ἡμῶν καὶ ἰαθῶσιν, ὅτι δοῦλός » ἐστι τοῦ Θεοῦ, πληρούμεθα. » Ταῦτα εἰπόντες προετρέψαντο τὸν μοναχὸν ποιῆσαι εὐχήν. Ὁ δὲ εὐξάμενος καὶ τῷ σημείῳ τοῦ σταυροῦ σφραγίσας αὐτῶν τὰς δεξιὰς ἀπεκατέστησεν ὑγιεῖς. Ὡς οὖν εἶδον οἱ βάρβαροι το γεγονὸς σημεῖον, ἐξέστησαν λέγοντες· « Ἐπ' ἀληθείας δοῦλος τοῦ Θεοῦ ἐστιν ὁ μοναχὸς » οὗτος. » Τότε προσκαλεσάμενος αὐτὸν ὁ ἄρχων ἔφη· « Τί ζητῶν εἰς τὸν τόπον τοῦτον ἐλήλυθας, ὦ » καλόγηρε; » Ὁ δὲ ἔφη· « Τρεῖς μοναχοὺς ἐκ τοῦ ἐμοῦ μοναστηρίου σὺν νεανίσκῳ ἑνὶ ᾐχμαλωτίσθη- » σαν καὶ ἦλθον εἰς ἀναζήτησιν αὐτῶν, εἴγε καὶ παρέξετέ μοι αὐτούς. » Ὁ δὲ ἔφη· « Ἐπεί, καλόγηρε, » ἐπληροφορήθημεν ὅτι δοῦλος τοῦ Θεοῦ ὑπάρχεις, οὐ μόνον αὐτούς σοι παρέξομεν, ἀλλὰ καὶ ὅσους » ἂν τῶν χριστιανῶν βούλῃ, λάβε καὶ ἄπελθε ἐν εἰρήνῃ. » Ὁ δὲ λαβὼν ὅσους ἂν τῶν χριστιανῶν εὗρεν, ἐξαρτύσας δὲ καὶ πλοῖα ὁ ἀμηρᾶς [4], δέδωκεν αὐτῷ, παρασχὼν αὐτῷ καὶ Σαρακηνοὺς εἰς τὸ διασῶσαι αὐτοὺς ἐν τῇ θαλάσσῃ, δοὺς αὐτοῖς καὶ ἀναλώματα καὶ χρυσίον οὐκ ὀλίγον παρασχὼν τῷ ὁσίῳ, ἐπισκήψας τοῖς ἐν τοῖς πλοίοις Ἀγαρηνοῖς ὁ ἄρχων τοῦ σημειοῦν καὶ προσέχειν τὴν πολιτείαν τοῦ μοναχοῦ· « Ἵνα, φησίν, ὑποστρέψαντες ἀναγγείλητε ἡμῖν ὅσα ἂν ἴδητε εἰς τὸν ἅγιον. » Ἐξορμήσαντες οὖν ἀπὸ Ἀφρικῆς, ὡς κατέπλεον, ἐξίσταντο οἱ βάρβαροι ὁρῶντες τὸν ὅσιον νηστεύοντα καὶ καθ' ἑκάστην προσευχόμενον. Ὡς δὲ εἰς νῆσόν τινα προσώρμισαν παντελῶς ἄνυδρον, ἐναντίων ἀνέμων πνευσάντων, προσέμειναν ἐν αὐτῇ ἡμέρας πολλάς. Πληρωθέντος δὲ τοῦ ὑδατος ὀυπερ εἶχον ἐν ἀγγείοις [5] αὐτων, ἔμειναν τρεῖς ἡμέρας τῇ δίψει φλεγόμενοι. Ἰδὼν δὲ ὁ ἅγιος πάντας κινδυνεύοντας ἐκ τῆς δίψης, εἶπεν αὐτοῖς· « Γεμίσαντες πάντα τὰ κεράμια ἀπὸ τῆς θαλάσσης, ἀγάγετε πρός με. » Τῶν δὲ ταῦτα γεμισάντων καὶ ἀγαγόντων πρὸς αὐτόν, αὐτὸς κλίνας τὰ γόνατα προσηύξατο καὶ σφραγίσας τὰ κεράμια τὰ πεπλησμένα ἐκ τῆς θαλάσσης, εὐθὺς ἐγλυκάνθησαν. Πιόντες οὖν οἵ τε αἰχμάλωτοι καὶ οἱ

[1] Σαρκηνὸς Q. — [2] ἁρπασθέντες Q. — [3] *forte legendum* ἀμηρᾶν. — [4] ἀμοιρᾶς Q. — [5] ἰσαγγείοις Q.

Nov. 19. « Οὐ φαύλης ἕνεκεν αἰτίας ἐπὶ τόνδε πάρειμι τὸν » ἀγῶνα ἀλλ' ἵνα [5] πᾶσιν ὑμῖν [6] τὸν ἕνα Θεὸν καὶ » μόνον οὐρανοῦ καὶ γῆς δημιουργὸν εἰδέναι καὶ » σέβειν μαρτύρωμαι. » Ὁ δὲ τύραννος ὀργῆς καὶ θυμοῦ πλησθεὶς τοὺς θῆρας ἀφεθῆναι κατ' αὐτοῦ προστάττει· αὐτὸς δὲ μηδὲν μελλήσας, ὑπαντιάζει ἄρκῳ δεινῷ καὶ φοβερῷ θηρίῳ, ὑφ' οὗ δὴ καὶ σπαραχθείς, ἔτι ἔμπνους ὢν αὖθις εἰς τὸ δεσμωτή-
f. 85ᵛ. ριον ἀναλαμβάνεται. Μίαν τε διαβιώσας [7] ἡμέραν, | τῇ ὑστεραίᾳ λίθων αὐτῷ προσαρτηθέντων θαλάττῃ καταποντοῦται τὸ σῶμα, τὴν δὲ ψυχὴν δι' ἀέρος ἀφίησιν ἐφ' ἣν ἔσπευδεν οὐρανῶν βασιλείαν, ἀγγέλων ἅμα καὶ μαρτύρων χοροῖς συναγελασθησομένην καὶ συγχορεύσουσαν.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀνθίμου, Θαλελαίου [1], Χριστοφόρου, Εὐφημίας καὶ τῶν τέκνων αὐτῆς.

6. Καὶ μνήμη τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου, Στεφάνου καὶ Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. Τελεῖται δὲ ἡ τοιαύτη σύναξις ἐν τοῖς Διακονίσσης, ὄντων καὶ τῶν ἐγκαινίων τοῦ τοιούτου ναοῦ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

Nov. 20. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ Δεκαπολίτου. Ὃς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας τῶν εἰκονομάχων. Οὗτος ἔφυ μὲν ἐν μιᾷ τῶν ἐν τῇ Δεκαπολιτῶν πρὸς τῇ Ἰσαυρίᾳ πόλεων [1], ᾗ ὄνομα Εἰρηνούπολις, γεννητόρων δὲ Σεργίου καὶ Μαρίας. Ὀκταετὴς δὲ γενόμενος, πρὸς τὴν μάθησιν τῶν ἱερῶν γραμμάτων ἐκδίδοται καὶ τούτων πλήρης γεγονὼς ταῖς ἐκκλησίαις ἐσχόλαζε. Τῆς ἥβης δὲ αὐτῷ ἐπανθούσης, πρὸς γάμον ἐκδοθῆναι ὑπὸ τῶν γονέων παρεσκευάζετο. Ὁ δὲ λάθρα φυγὼν καὶ μάλιστα διὰ τὴν ἐπικρατοῦσαν τότε τῶν εἰκονομάχων αἵρεσιν, περιήρχετο τόπον ἐκ τόπου τοὺς ἁγίους ἄνδρας κατασπαζόμενος, τὴν ὠφέλειαν παρ' ἑαυτῷ θησαυρίζων. Τῇ ἐγκρατείᾳ δὲ καὶ σκληραγωγίᾳ ἑαυτὸν καθυποβαλών, πολλαῖς κακώσεσι καὶ μάλιστα [2] δαιμονικαῖς [3] ἐπάλαισεν· ὅθεν καὶ μέγας θαυματουργὸς ἀνεφάνη. Οὗτος καὶ τὴν Ἀσίαν κατέλαβε καὶ πρὸς τὸ Βυζάντιον ἐπεδήμησεν, ἐπιθυμίαν ἔχων ἐπιτυχεῖν τῆς ὁμολογίας. Ἐκεῖθεν πρὸς τὴν Ῥώμην ἀπέπλει, καὶ πᾶσαν τὴν ἑσπέραν περινοστησάμενος καὶ θαύμασι καὶ τέρασι πολλοὺς ἐκπλήξας, πάλιν πρὸς τὸ Βυζάντιον ἔρχεται· εἶτα πρὸς τὸ Ὀλύμπιον [4] ὄρος μετέστη, ὅπου καὶ ὑδεριάσας καὶ πάνυ ἐκτακεὶς ἀπὸ μόνης [5] φωνῆς τοῖς εἰδόσιν ἐγνωρίζετο. Καὶ [6] πάλιν οὖν ἀπὸ τοῦ ὄρους κατελθὼν καὶ τὴν Θεσσαλονίκην καταλαβὼν ἐκεῖθέν τε τῷ Βυζαντίῳ [7] προσορμήσας καὶ Συμεὼν τὸν ὁμολογητὴν καὶ θεοφόρον, θεῖον αὐτοῦ ὄντα, ὑπὲρ τῶν σεπτῶν καὶ ἁγίων εἰκόνων εὑρὼν ἐγκεκλεισμένον καὶ πολλὰ καθικετεύσας καὶ προσκυνήσας, ἐν εἰρήνῃ ἐκοιμήθη, πολλὰ καὶ διάφορα | νοσήματα ἐξ ἀνθρώπων ἀπελάσας. f. 86.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Κωνσταντινουπόλεως Πρόκλου, Μαξιμιανοῦ [1], Ἀνατολίου καὶ Γενναδίου.

— [5] *om.* Sa. — [6] ἡμῖν Sa. — [7] διαβιβάσας Sa.
5. — [1] Θαλαλαίου Sa.
1. — [1] πόλει S, Sa. — [2] μάστιει Sa. — [3] δαιμονικῶς Sa. — [4] Ὀλυμπεῖον S. — [5] τῆς *add.* Sa. — [6] *om.* Sa. — [7] Βυζαντιο Sa.
2. — [1] Μαξιμιανοῦ Sa, H, Μαξίμου S.

Nov. 19. Σαρακηνοί, ἐδόξασαν τὸν Χριστόν. Τοῦτο τὸ σημεῖον ὁ ὅσιος οὐχ ἅπαξ μόνον ποιήσας, ἀλλὰ καὶ δὶς καὶ τρὶς διὰ τὸ αὐτοὺς ἐκεῖσε ἡμέρας πολλὰς ποιῆσαι διὰ τὴν τῶν ἀνέμων ἐναντιότητα καὶ ἄλλων δὲ θαυμάτων καὶ σημείων αὐτουργὸς γενόμενος, ἐν εἰρήνῃ ἐτελειώθη. — **C** : 3. 5. 6. 4 : Ἀγαπίου τοῦ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης. Βασιλεύοντος Μαξιμιανοῦ καὶ τῶν γενεθλίων αὐτοῦ τελουμένων ἐν τῇ πόλει, ἑορτὴν ἐπετέλει τοῖς θεαταῖς. Ἀχθεὶς οὖν ὁ Ἀγάπιος ἐπ' οὐδεμιᾷ ἑτέρᾳ αἰτίᾳ ἢ ὅτι χριστιανὸς εἴη, ηὐτρεπίζετο εἰς βορὰν θηρίοις καὶ σὺν αὐτῷ οἰκέτης τις ἐπὶ δεσπότου φόνῳ. Καὶ ὅρα τὸ διάφορον· αὐτὸς μὲν ἀπελύετο ὡς πάλαι Βαραββᾶς ὁ τὸν δεσπότην φονεύσας, ὁ δὲ ὑπὲρ Χριστοῦ μαρτυρῶν θανάτῳ παρεδίδετο. Ἀχθεὶς οὖν εἰς τὸ μέσον, ἄρκου αὐτῷ ἀπολυθείσης ἀγρίας, διεσπαράχθη καὶ ἔτι μικρὸν ἐμπνέων εἰς τὸ δεσμωτήριον ἀνελήφθη. Μίαν δὲ ἐνταῦθα βιώσας ἡμέραν, τῇ ὑστεραίᾳ λίθων αὐτῷ προσαναρτηθέντων θαλάττῃ καταποντοῦται τὸ σῶμα, τὴν ψυχὴν ἀφεὶς εἰς χεῖρας Θεοῦ ζώντος, καὶ οὕτως ἐτελειώθη. — 1. — **Cb** : 3. 5. 1. 4. — **Cc** : 3. 5. 6. 4. 1. — **M** : 1. 2. 3. — Οἱ ἅγιοι ἑκατὸν στρατιῶται καὶ πεντήκοντα μετὰ τοῦ ἁγίου Ἄζη ξ. τ. — Οἱ ἅγιοι ιβ' στρατιῶται ξ. τ. — 4. — Τοῦ ἁγίου μάρτυρος Ἡλιοδώρου τοῦ ἐν Μαγιδῷ τῆς Παμφυλίας. Ἐπὶ τῆς βασιλείας Αὐρηλιανοῦ τοῦ ἐν Ῥώμῃ, ἡγεμονεύοντος Ἀετίου ἐν Μαγιδῷ τῇ πόλει, ὁ μακάριος οὗτος Ἡλιόδωρος ἐν τῇ αὐτῇ πόλει ὢν καὶ τὸν Χριστὸν μετὰ παρρησίας ἀνακηρύττων διαβάλλεται τῷ ἄρχοντι... Des. καὶ νεύσας ὁ ἅγιος τῇ χειρὶ αὐτοῦ τοὺς ἕλκοντας αὐτὸν ἔστη εἰς προσευχήν· καὶ πληρώσας τὴν εὐχὴν ἀπετμήθη τὴν κεφαλήν. — **Mv** : 1. 2. 3. — Οἱ ἅγιοι ρν' στρατιῶται ξ. τ. — Οἱ ἅγιοι δέκα στρατιῶται ξ. τ. — 4. — Ἡλιοδώρου. — 5. — **Mr** : 1. 2.

Nov. 20. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. add. : Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ μονῇ αὐτῶν τῇ οὔσῃ πλησίον τῆς ἁγίας μάρτυρος Εὐφημίας ἐν τῷ Σκοτεινῷ Πηγαδίῳ. — 7. 8. 9. — **H** : 4. 5. 1. 2 (ἡ μεγάλη ἐκκλησία ἀεὶ ἐν ἡμέρᾳ κυριακῇ ἑορτάζει καὶ γίνεται ἡ ἀκολουθία οὕτως ...). — 3. — **P** : 4. 1. 5. 2. — **Da** : 1. 4 (= Ba). 5. 6. — **Db** : 1. 4. 5. 6. — **F** : 2 : Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πρόκλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως μαθητοῦ τοῦ μακαρίου Ἰωάννου τοῦ Χρυσοστόμου. — 1. 4. 5. 2 (Μαξίμου, Ἀλεξάνδρου, Ἀνατολίου καὶ Γενναδίου). — 6. — **Fa** : 2 (Πρόκλου). — 1. 4. 5 (Ἡρσᾶ...). — 2 (Μαξίμου κτλ.). — 6. — **B** : 4. 5. 7. 8. 1. — **Ba** : 1. 4 : Ἄθλησις τοῦ ἁγίου μάρτυρος

3. Καὶ τοῦ ἁγίου Θωμᾶ ἐν τοῖς Κύρου, πλησίον τοῦ ἁγίου μάρτυρος Μωκίου.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Δασίου τοῦ ἐν Δοροστόλῳ [1]. Ἰστέον, ὅτι ἐν ταύτῃ τῇ πόλει τοιοῦτον ἔθος ἦν τοῖς ἕλλησι· τῷ Κρόνῳ ἐπετέλουν ἑορτὴν ἐτησίως, πρὸ τριάκοντα δὲ ἡμερῶν τῆς τοιαύτης μυσαρᾶς ἑορτῆς ἐπελέγοντο ἕνα τινὰ τῶν στρατιωτῶν νέον καὶ εὐειδῆ, καὶ εὐτρέπιζον πρὸς [2] θυσίαν, ἐνδύοντες αὐτὸν ἱμάτια βασιλικὰ καὶ προτρεπόμενοι ἀποπληροῦν πᾶσαν ἐπιθυμίαν αὐτοῦ, ὡς μετὰ τριάκοντα ἡμέρας μέλλοντα ἐπισφάττεσθαι τῷ βωμῷ τοῦ Κρόνου. Ἐλθόντος δὲ τοῦ κλήρου καὶ ἐπὶ Δάσιον τὸν στρατιώτην καὶ τῶν συστρατιωτῶν περιστάντων αὐτῷ [3] καὶ πρὸς τὰ ὅμοια ἐκβιαζομένων, ἐκεῖνος ἀγαθῷ λογισμῷ χρησάμενος ἐσκόπησε τὸ συμφέρον, εἰπὼν ὅτι· « Ἐπεὶ μέλλω θανεῖν [4], κρεῖττόν μοί ἐστιν ὡς χρι- » στιανῷ [5] ὑπὲρ τοῦ Χριστοῦ μου ἀποθανεῖν· » ὅθεν παραστὰς τῷ τοῦ ἄρχοντος βήματι, Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τοῦτο μαθόντων καὶ προσταξάντων, καὶ πολλὰ τιμωρηθεὶς τελευταῖον τὴν διὰ ξίφους ἐδέξατο τελευτήν.

Nov. 20. f. 86ᵛ.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Νηρσᾶ [1] ἐπισκόπου καὶ Ἰωσὴφ μαθητοῦ αὐτοῦ καὶ ἑτέρων σὺν αὐτῷ τελειωθέντων ἐν Περσίδι. Ὧν ὁ μὲν ἐπίσκοπος Νηρσᾶς ἦν ἐτῶν π', ὁ δὲ Ἰωσὴφ καὶ αὐτὸς τῇ τοιαύτῃ ἀξίᾳ τετιμημένος, ἦν ἐτῶν πε'· μεθ' ὧν [2] καὶ ἕτεροι πλεῖστοι ἐπίσκοποί τε καὶ ἱερεῖς καὶ τῶν ἐκ τοῦ [3] ἰδιωτικοῦ τάγματος καὶ παρθένοι, γυναῖκες, ἀσκήτριαι διαφόρως ἐδοκιμάσθησαν· καὶ ἐν διαφόροις κολάσεσιν ἠτάσθησαν καὶ τὸν τῆς μαρτυρίας ἀπηνέγκαντο στέφανον.

6. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων αὐταδέλφων μαρτύρων [1] Εὐσταθίου, Θεσπεσίου καὶ Ἀνατολίου. Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, πατρίδα μὲν ἔχοντες τὴν [2] Γαλατῶν [3], πόλιν δὲ Γάγγραν, Φιλοθέου καὶ Εὐσεβείας ὄντες τέκνα. Ὧν ὁ μὲν πατὴρ ἐκ τῆς Γαλατῶν ὥρμητο, ἡ δὲ μήτηρ ἐκ Νικομηδείας, ἀμφότεροι ἕλληνες τὴν θρησκείαν τὸ δὲ ἐπιτήδευμα βεστι|οπρᾶται. Τεχθέντων δὲ τῶν παίδων καὶ καλῶς ἀνατρεφομένων, ὁ μὲν Εὐστάθιος γράμμασιν ἐσχόλασεν, ὁ δὲ Θεσπέσιος καὶ Ἀνατόλιος τὸ τοῦ πατρὸς μετήρχοντο ἐπιτήδευμα. Λαβὼν οὖν ὁ Φιλόθεος τὸν υἱὸν αὐτοῦ Ἀνατόλιον καὶ πραγματευσάμενος ἐν τῇ ἀνατολῇ, εἶτα πρὸς τὰ οἰκεῖα ὑποστρέφων, συνήντησεν κατὰ τὴν ὁδὸν Λουκιανῷ πρεσβύτῃ καὶ διδασκάλῳ, ἀπὸ τῆς Ἀντιοχέων πρὸς τὴν Νικομήδειαν ὁρμῶντι. Ἐν συντυχίᾳ δὲ τούτου γεγονώς, ἐπίστευσεν αὐτὸς καὶ ὁ τούτου υἱὸς εἰς τὸν Χριστὸν καὶ αὐτίκα ἐλούθησαν ἐν τῷ Σαγγαρίῳ [4] ποταμῷ. Ἔπειτα καταλαβόντες τὴν Νικομήδειαν καὶ ἐν ὁμιλίᾳ γενόμενοι τοῦ μακαρίου Ἀνθίμου τοῦ ἐπισκόπου, πάντες ὑπ' αὐτοῦ ἐβαπτίσθησαν· ὅθεν ὁ μὲν Φιλόθεος πρεσβύτερος μετ' ὀλίγον ἐχειροτονήθη καὶ ὁ τούτου υἱὸς Εὐστάθιος διάκονος, ἀνθρωπίνης καὶ θείας γνώσεως ὑπάρχοντες ἔμπλεῳ [5]. Οὐ μετὰ πολὺ δέ, τῶν γονέων τὸν βίον ἀπολιπόντων, διεβλήθησαν τῷ Μαξιμιανῷ. Διὸ καὶ τύπτονται βάκλοις ἀνηλεῶς καὶ τῇ φρουρᾷ καὶ τῷ ξύλῳ ἐμβάλλονται, βρώσεως ἢ πόσεως οὐδ' ὅλως μετέχοντες· ἀγγέλου δὲ θείου ἐπιστασίᾳ καὶ τῶν δεσμῶν ἀνείθησαν καὶ βρώσεως μετέσχον· τῇ δὲ ἔωθεν θηρίοις διαφόροις ἐπάλαισαν, αὐτοὶ διαμείναντες ἄτρωτοι· ὅθεν καὶ ἐκδότους αὐτοὺς λαβὼν Ἀντωνῖνος ὁ κόμης καὶ τὴν Νίκαιαν καταλαβών, ποικίλαις ὑπέβαλε κολάσεσιν. Ἀναρτῶνται γὰρ ἐπὶ ξύλου καὶ σιδηροῖς ὄνυξι ξέονται, ὡς τὴν γῆν τῷ αἵματι φοινιχθῆναι, καὶ τῇ εἱρκτῇ ἐναπορρίπτονται· ἀλλὰ καὶ πάλιν θείᾳ καὶ ἀγγελικῇ ἐπιφανείᾳ καὶ ὁ πόνος τῶν πληγῶν αὐτῶν ἠφανίσθη καὶ τὰ σώματα ὑγιῆ ἀποκατέστη. Ταῦτα ἰδὼν ὁ αἱμοβόρος ἐκεῖνος τὴν διὰ ξίφους αὐτοὺς κελεύει ὑποστῆναι τιμωρίαν. Εὐχόμενοι δὲ ἐν τῷ τῆς τελειώσεως τόπῳ οἱ ἅγιοι, αἰφνιδίως τὰς ψυχὰς αὐτῶν ἐν εἰρήνῃ τῷ Θεῷ [6] ἀπέδωκαν, ὅθεν οἱ δήμιοι διὰ τὸν τύραννον νεκρὰ τὰ σώματα τοῖς ξίφεσιν ἀπέτεμον [7].

4. — [1] Sa, Ῥοδοστόλῳ S. — [2] εἰς Sa. — [3] αὐτῶν S, αὐτὸν Sa. — [4] ἀποθανεῖν Sa. — [5] χριστιανὸν Sa.
5. — [1] μαρτύρων Νιρσᾶ Sa. — [2] (Νηρσᾶς ἦν - ἐτῶν πε') Νιρσᾶς ἦν ἐτῶν πε' Sa. — [3] ἐκ τοῦ *om.* Sa.
6. — [1] μαρτύρων καὶ αὐταδέλφων Sa. — [2] τῶν *add.* Sa. — [3] χώραν *add.* Sa. — [4] Σαγαρίῳ S, Sa. — [5] ἔμπλεοι Sa. — [6] Κυρίῳ Sa. — [7] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.

Δασίου. Οὗτος ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ βασιλέως ἐν πόλει Δοροστόλῳ, πλησιάζοντι τῷ Ἴστρῳ ποταμῷ. Ἐτησίου δὲ ἑορτῆς ἐν τῇ πόλει τελουμένης τῷ Κρόνῳ καὶ ἀνθρώπου τοῦ κληρωθέντος ἐπὶ τῇ τοῦ δαίμονος τιμῇ σφαττομένου καὶ θυομένου, ὑπὲρ τοῦ Χριστοῦ μᾶλλον εἵλετο ὁ ἅγιος μάρτυς τοῦτο παθεῖν. Ὅθεν παρρησίᾳ τὸν Χριστὸν ὁμολογήσας καὶ προσαχθεὶς τῷ βασιλεῖ Μαξιμιανῷ ἐτμήθη ὑπὸ τοῦ ξίφους τὴν κεφαλὴν καὶ οὕτως ἐπληρώθη αὐτοῦ ἡ μαρτυρία. — 5. 6. 7. 8. — In margine fol. 127ᵛ manu rec. add. : τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πρόκλου· ζήτει ὀκτωβρίου τῇ κδ'. — **T** : 1. — **L** : 1. — **O** : 1. 4. 5. 6. — **Q** : 1. 4. 5. 7. 8. 6. — **C** : 6. 4. 5. 7 (Ἰωάννου καὶ Σαβωρίου καὶ Ἰσακίου ἐπισκόπων καὶ Ἀγαπίου καὶ Ἰσακίου τῶν πρεσβυτέρων). — 8. 1. mutil. — **Ca** : 6. 4. 5. 7. 8. 1. 2 (Μαξιμιανοῦ κτλ.). — **Cb** : 4. 7 (Ἰωάννου, Σαβωρίου καὶ Ἰσακίου τῶν ἐπισκόπων καὶ Παπάου καὶ Ἰσακίου τῶν ἐπισκόπων). — 8. 1. — **Cc** : 6. 4. 5 : Νηρσᾶ ἐπισκόπου καὶ Ἰωσὴφ μαθητοῦ αὐτοῦ. Τούτων τῶν ἁγίων ὁ μὲν Νηρσᾶς ὑπῆρχεν ἐτῶν ὀγδοήκοντα, ὁ δὲ Ἰωσὴφ ἐτῶν ὀγδοήκοντα πέντε, ἀμφότεροι ἐπίσκοποι ὄντες· πολλοὺς δὲ ἐπιστρέφοντες ἀπὸ τῶν εἰδώλων ἐπὶ τὸν Κύριον, ἐκρατήθησαν παρὰ των ἀθέων Περσῶν. Καὶ παραστάντες τῷ βασιλεῖ, ἔφησαν ὅτι· « Εἰ δύνασαι, βασιλεῦ, μετὰ τὸ » θανατῶσαι ἡμᾶς ἑπτάκις ἀναστήσαι ἡμᾶς, οὐκ ἂν χωρήσῃς ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ· » καὶ ταῦτα εἰπόντες, ἀπεκεφαλίσθησαν. — 7 : Ἰωάννου καὶ Σαβωρίου καὶ Ἰσαακίου τῶν ἐπισκόπων καὶ Ἀγαπίου καὶ Ἰσαακίου τῶν πρεσβυτέρων. Καὶ οὗτοι οἱ ἅγιοι διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν κρατηθέντες παρὰ τοῦ βασιλέως Περσῶν καὶ πολλὰ τιμωρηθέντες καὶ μὴ ἀρνησάμενοι τὸν Χριστὸν ἀλλ'

Nov. 20.

Nov. 20. **7.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰωάννου, Σαβωρίου, Ἰσαακίου <καὶ [1]> Παπίου. Οὗτοι οἱ ἅγιοι ἐν Περσίδι ἐτύγχανον, πρεσβύτεροι χρηματίζοντες πόλεως Βηθσαλω-
f. 87. χόν [2]. | Ἐπεὶ δὲ τὸν λαὸν ἐδίδασκον τὴν πλάνην τῶν Περσῶν καταλῦσαι σπουδάζοντες, διεβλήθησαν τῷ βασιλεῖ. Ὁ δὲ μετὰ θυμοῦ μεγάλου καὶ ὀργῆς πέμψας στρατιώτας, ἐκράτησεν αὐτούς. Οἵτινες δέσμιοι παραστάντες τῷ βήματι αὐτοῦ καὶ διαφόρως μαστιχθέντες καὶ καταξανθέντες, ἐπεὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν Θεὸν ἀληθινὸν ἀνωμολόγουν καὶ τῆς τῶν Περσῶν πλάνης καταλύτην, προστάξει τοῦ τυράννου τῆς πόλεως ἔξω σὺν τῷ ἁγίῳ Ὀνὰμ τῷ ἀσκητῇ ἐλιθοβολήθησαν.

8. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Βοηθαζὰτ τοῦ εὐνούχου καὶ Σασάνους καὶ τῶν σὺν αὐτοῖς ἁγίων ἀνδρῶν καὶ γυναικῶν. Ὁμοίως καὶ οὗτοι ἐν τῇ δυσσεβεστάτῃ καὶ κατειδώλῳ [1] χώρᾳ τῶν παρανόμων Περσῶν ἐτύγχανον. Καὶ ὁ μὲν Βοηθαζὰτ χριστιανὸς ἐκ βρέφους ὤν, κρατηθεὶς καὶ μὴ πεισθεὶς θῦσαι τῷ ἡλίῳ καὶ τῷ πυρί, προστάξει τοῦ Περσῶν βασιλέως ἅμα τοῖς ἁγίοις Σασάνῃ καὶ τοῖς λοιποῖς μετὰ πολλὰς βασάνους καὶ τιμωρίας ἀνῃρέθη· μεθ' ὧν καὶ γυναῖκες ἅγιαι ἀσκήτριαι Θέκλα, Ἄννα καὶ ἕτεραι πολλαὶ πλεῖστα ὑπὲρ Χριστοῦ παθοῦσαι ἀπεκεφαλίσθησαν· ὁμοίως καὶ τρεῖς παρθένοι μαχαίραις κατεκόπησαν. Ἔνθα δὲ ἔρρευσε [2] τὸ αἷμα αὐτῶν, συκῆ ἀναβλαστήσασα ἰαμάτων χάριν παρεῖχε τοῖς πιστοῖς, θεραπεύουσα πᾶσαν νόσον καὶ πᾶν πάθος· ἥτις ὕστερον ἐξεκόπη ὑπὸ τῶν ἀθέων μανιχαίων, φθονησάντων τῇ τῶν θείων θαυμάτων ἐνεργείᾳ.

9. Καὶ [1] ἄθλησις τοῦ ἁγίου Θεοκτίστου πατρικίου, τῇ θέσει εὐνούχου· ὃς ἦν ἐπὶ Θεοδώρας τῆς Αὐγούστης.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ'.

Nov. 21. **1.** Ἡ σύναξις τῆς παναγίας [1] δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ὅτε ἀφιερώθη καὶ ἀνετέθη ἐν τῷ ναῷ, οὖσα τριετής, παρὰ Ἰωακεὶμ καὶ Ἄννης τῶν γεννητόρων αὐτῆς. Ἡ ἐν τῷ ναῷ τῆς θεομήτορος εἴσοδος ἑορτὴν τοῖς εὐσεβέσιν εἰργάσατο θαυμαστὴν καὶ παγκόσμιον, ἐκ ταύτης τῆς ὑποθέσεως λαβοῦσαν τὴν ἀφορμήν. Μετὰ τὸν παράδοξον τόκον τῶν ἁγίων Ἰωακεὶμ καὶ Ἄννης, πληρωθέντος διετοῦς χρόνου ἀπὸ τῆς σεπτῆς γεννήσεως τῆς αὐτῶν θυγατρὸς τῆς ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, εἶπεν Ἰωακεὶμ τῇ γυναικὶ αὐτοῦ Ἄννῃ·
f. 87v. « Ἀπαγάγωμεν αὐ|τὴν ἐν τῷ ναῷ Κυρίου καθὼς » ὑπεσχόμεθα. » Καὶ εἶπεν Ἄννα· « Μείνωμεν τὸ » τρίτον ἔτος, μήποτε ζητήσῃ πατέρα ἢ μητέρα καὶ » οὐ κατευθυνθήσεται ἐνώπιον Κυρίου. » Καὶ μετὰ τὰ [2] τρία ἔτη, εἶπεν Ἰωακείμ· « Καλέσωμεν τὰς » θυγατέρας τῶν Ἑβραίων τὰς ἀμιάντους καὶ » λαβέτωσαν ἀνὰ λαμπάδα καὶ ἑστωσαν αἱ λαμπά- » δες καιόμεναι, μήποτε στραφῇ ἡ παῖς εἰς τὰ » ὀπίσω καὶ αἰχμαλωτισθῇ ἡ διάνοια αὐτῆς ἐν ναῷ » Κυρίου. » Καὶ ἐποίησαν οὕτως. Καὶ ἐδέξατο αὐτὴν Ζαχαρίας καὶ εἶπεν αὐτῇ· « Μεγαλύναι » Κύριος τὸ ὄνομά σου· » καὶ ἐκάθισεν αὐτὴν ἐπὶ τοῦ βαθμοῦ τοῦ θυσιαστηρίου. Καὶ ἦν τρεφομένη ὑπὸ [3] ἀγγέλου, ἕως ἐγένετο ἐτῶν δώδεκα· καὶ φθάσαντος τοῦ καιροῦ τῆς μνηστείας, παρέλαβεν αὐτὴν Ἰωσὴφ ἀπὸ τῶν ἀρχιερέων ἐκ ναοῦ Κυρίου. Τελεῖται δὲ [2] ἡ τοιαύτη σύναξις ἐν τῷ πανσέπτῳ αὐτῆς ναῷ ἐν τοῖς Χαλκοπρατείοις.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ'.

Nov. 22. **1.** Ἄθλησις τῆς ἁγίας μάρτυρος Κικιλίας, Βαλλεριανοῦ καὶ Τιβουρτίου [1]. Οὗτοι ἤθλησαν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Καὶ ἡ μὲν Κικιλία ὑπῆρχεν ἐκ [2] Ῥώμης, προγόνους ἔχουσα λαμπρούς. Μνηστευθεῖσα δὲ τῷ Βαλλεριανῷ, τοῦτον ἐπὶ τὴν εἰς Χριστὸν πίστιν μετηγάγετο καὶ ἐν ἀγνείᾳ διά-

7. — [1] Sa, *om.* S. — [2] Βηθσαλιὰχ Sa.
8. — [1] κατειδάλω Sa. — [2] ἔρρυσε Sa.
9. — [1] τῇ αὐτῇ ἡμέρα Sa.
1. — [1] ὑπεραγίας Sa. — [2] *om.* Sa. — [3] τοῦ *add.* Sa.
1. — [1] Τιβορτίου Sa. — [2] τῆς *add.* Sa.

Nov. 20. ἐλέγξαντες τὴν τῶν Περσῶν πλάνην καὶ ματαιότητα, προστάξει τοῦ τυράννου ἐλιθοβολήθησαν, καὶ οὕτως ἐτελειώθησαν σὺν τῷ ἁγίῳ Ὠνὰμ τῷ ἀσκητῇ. — 8: Βοηθαζὰτ εὐνούχου καὶ Σασάνης καὶ τῶν σὺν αὐτῷ ἀνδρῶν τε καὶ γυναικῶν. Οὗτος ὁ ἅγιος Βοηθαζὰτ χριστιανὸς ὢν καὶ μὴ πεισθεὶς θῦσαι τῷ ἡλίῳ καὶ τῷ πυρί, προστάξει τοῦ Περσῶν βασιλέως ἅμα τοῖς ἁγίοις Σασάνῃ, Νοηλμάρῃ, Ζαρουαντίνῃ ἀνῃρέθησαν· μεθ' ὧν καὶ γυναῖκες ἅγιαι ἀσκήτριαι Βαουθᾶ, Θέκλα, Δινάχ, Τέντους, Μάμα, Μαλοχία καὶ Ἄννα ἀπεκεφαλίσθησαν καὶ Νάνα καὶ Ἄστη καὶ Μαλὰχ ἀειπάρθενοι μαχαίραις κατεκόπησαν. Ὅπου δὲ ἔρρευσε τὸ αἷμα αὐτῶν, συκῆ ἀνελθοῦσα ἰαμάτων χάριν παρεῖχε τοῖς πιστοῖς. — 1. 2 (Πρόκλου, Μαξιμιανοῦ ...). — **M** : 1. 4. 6. 9. 2 : καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Πρόκλου. — **Mv** : 1. 2 (Πρόκλου). — 4. 5. 6. 9. — **Mr** : 1. 2 (Πρόκλου).

Nov. 21. SYNAXARIA SELECTA. **Sa** : 1. — **H** : 1. — **P** : 1. — **Da** : 1. — **Db** : 1. — **F** : 1. — **Fa** : 1. — **B** : 1. — **Ba** : 1. — **T** : 1. — **L** : 1. des. ἐν τοῖς Χαλκοπρατείοις τῆς λιτῆς μετὰ τοῦ πατριάρχου ἀπὸ τῆς μεγάλης ἐκκλησίας ἐκεῖσε παραγενομένης. — **O** : 1. — **Q** : 1. — **C** : deest. — **Ca** : 1. — **Cb** : 1. — **Cc** : 1. — **M** : 1. — **Mv** : 1. — **Mr** : 1.

Nov. 22. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 3. 2. — **P** : 3. — **Da** : 1 (= Ba). 2 (= Ba). 3. 4. — Αἰκατερίνας (Nov. 24²). — **Db** : 1. 2. 3. 4. — **F** : Ἀμφιλοχίου (Nov. 23²). — 1. 2. 3. — **Fa** : Ἀμφιλο

γειν ἔπεισεν, ὁ δὲ Βαλλεριανὸς τὸν Τιβούρτιον ἀδελφὸν αὐτοῦ γνήσιον ὑπάρχοντα. Εἰς τοσαύτην δὲ ἀρετὴν ἀνήχθη ὁ Τιβούρτιος, ὡς καὶ ἀγγέλοις καθ' ἑκάστην προσομιλεῖν. Οὗτοι οὖν τὰ λείψανα
5 τῶν ἐναθλούντων ὑπὲρ Χριστοῦ μαρτύρων θάπτοντες, διαβάλλονται Τουσκίῳ Ἀλματίῳ [3] ἐπάρχῳ τῆς πόλεως· καὶ ἀχθέντες ἐνώπιον αὐτοῦ καὶ τὸν Χριστὸν ὁμολογήσαντες ἐκδίδονται τῷ καπικλαρίῳ [4] Μαξίμῳ ἀποτμηθησόμενοι τὰς κεφαλάς.
10 Ὃς μετὰ τὴν τῶν ἁγίων ἐκτομὴν θεασάμενος λαμπροὺς ἀγγέλους προπομπεύοντας καὶ δορυφοροῦντας εἰς οὐρανοὺς <τὰς ψυχὰς τῶν μαρτύρων, ἐπίστευσε καὶ αὐτὸς ἐπὶ τὸν Κύριον [5]>· ὃς καὶ αὐτὸς ὑπὸ τοῦ ἐπάρχου <τυφθῆναι κελευσθεὶς [6]>
15 ἐν τῷ αἰκίζεσθαι τῷ Θεῷ τὸ πνεῦμα παρέδωκεν. Ἡ δὲ ἁγία Κικιλία [7] ἐν τῷ βαλανείῳ τοῦ οἴκου αὐτῆς προστάξει τοῦ ἐπάρχου [8] ἐμβληθεῖσα ἐκκαέντι σφοδρῶς [9] καὶ μὴ συγχωρουμένη τὴν ἔξοδον καὶ [10] ἐπὶ τρισὶν ἡμέραις ἐν αὐτῷ παραμείνασα καὶ μηδὲν
20 βλαβεῖσα, ἀποστείλαντος τοῦ ἐπάρχου, τέμνεται τὴν κεφαλήν [11].

f. 88. | **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Προκοπίου τοῦ Παλαιστινοῦ [1]. Οὗτος πρῶτος μαρτύρων τῶν κατὰ Παλαιστίνην [2] ἀπεφάνθη, ἐπεὶ
25 καὶ πρὸ τοῦ μαρτυρίου [3] συντόνῳ φιλοσοφίᾳ τὴν ἑαυτοῦ ζωὴν ἀναθεὶς ἐκ παιδὸς ἀγνείᾳ βίου καὶ διαίτῃ καρτερικωτάτῃ [4] προσεῖχεν· ἄρτος μὲν γὰρ αὐτῷ ἡ τροφὴ καὶ τὸ [5] ποτὸν ὕδωρ [6]· μόνοις δὲ τούτοις ἐχρῆτο διὰ δύο ἢ καὶ τριῶν ἡμερῶν, πολ-

30 — [3] τοὺς κίω Ἀλματίω S, τοῦ σκίω Ἀλματίω Sa. Τούρκιος ὁ καὶ Ἀλμάτιος *in Passione graeca*, Laderchi, *l. I, p. 244*; Turcius Almachius, *in Passione latina*, *ibid.*, *p. 20*. — [4] S, Sa, *Passio*, *p. 250*; corniculario, *ibid.*, *p. 28*, *et apud* Mombritium, *l. I, f. 191v*; *al.* cubiculario. — [5] *add.* Sa, *om.* S. — [6] *om.* S, Sa. — [7] Κιλικία S. — [8] ὑπάρχου S, Sa. — [9] (ὃς καὶ - σφοδρῶς) ἡ δὲ ἁγία Κικιλία ἐν βαλανείῳ βληθεῖσα σφοδρῶς ἐκκαέντι Sa. — [10] *om.* Sa. — [11] (ἐν αὐτῷ - κεφαλήν) παραμείνασα ἐν αὐτῷ τὴν διὰ ξίφους δέχεται τελευτὴν τοῦ ἐπάρχου οὕτως ἀποφηναμένου Sa.

35 **2.** — [1] Παλαιστηνοῦ Sa. — [2] πρῶτος τῶν κατὰ Παλαιστήνην Sa. — [3] (ἐπεὶ - μαρτυρίου) μαρτύρων Sa. — [4] καρτερικωτάτην Sa. — [5] *om.* Sa. — [6] ἦν *add.* Sa. — [7] διέμεινεν Sa. — [8] χρείοις Sa. — [9] πενονημένως S, πεπονημένο||ς Sa. — [10] ἠναγκάζετο Sa. — [11] ἐν πρώτοις μὲν *add.* Sa. — [12] τέτταρσι Sa. — [13] πολυκυρανίῃ S. — [14] κύρανος S. — [15] καὶ *add.* Sa. — [16] τῶν ὅλων καὶ ποιητὴς Sa. — [17] τὴν ἐπὶ θάνατον ψῆφον *add.* Sa. — [18] ὁ μακάριος *add.* Sa.

3. — [1] ὑπῆρχον Sa. — [2] τοῦ βασιλέως *om.* Sa. — [3] *om.* Sa. — [4] Πισσιδίας Sa. — [5] καταχεθέντες Sa. — [6] ὑποστάντες
40 Sa. — [7] Sa, Καλαντηνῶν S.

χίου. — 1. 2. 3. — **B** : 3. — **Ba** : 1 : Κικιλίας καὶ Βαλλεριανοῦ [1] καὶ Τιβουρτίου. Οὗτοι ἤθλησαν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Καὶ ἡ μὲν Κικιλία ὑπῆρχεν ἐκ τῆς Ῥώμης, προγόνους ἔχουσα λαμπρούς. Μνηστευθεῖσα δὲ [2] τῷ Βαλλεριανῷ, τοῦτον ἐπὶ τὴν εἰς Χριστὸν πίστιν ἠγάγετο καὶ ἐν ἀγνείᾳ διάγειν ἔπεισεν, ὁ δὲ Βαλλεριανὸς τὸν Τιβούρτιον, ἀδελφὸν αὐτοῦ γνήσιον ὑπάρχοντα. Εἰς τοσαύτην δὲ
45 ἀρετὴν ἀνήχθη ὁ Τιβούρτιος, ὡς καὶ ἀγγέλοις καθεκάστην προσομιλεῖν. Οὗτοι οὖν τὰ λείψανα τῶν ἐναθλούντων ὑπὲρ Χριστοῦ μαρτύρων θάπτοντες, διαβάλλονται Τουσκίῳ Ἀλματίῳ [3] ἐπάρχῳ τῆς πόλεως· καὶ ἀχθέντες καὶ τὸν Χριστὸν ὁμολογήσαντες, ἐκδίδονται τῷ καπικλαρίῳ [4] Μαξίμῳ, ἀποτμηθησόμενοι τὰς κεφαλάς. Ὃς μετὰ τὴν τῶν ἁγίων ἐκτομὴν θεασάμενος λαμπροὺς ἀγγέλους προπομπεύοντας καὶ δορυφοροῦντας τὰς ψυχὰς τῶν μαρτύρων, ἐπίστευσεν καὶ αὐτὸς ἐπὶ τὸν Κύριον. Ἡ δὲ ἁγία
50 Κικιλία ἐν βαλανείῳ βληθεῖσα σφοδρῶς ἐκκαέντι καὶ μὴ συγχωρουμένη τὴν ἔξοδον ἐπὶ τρισί τε ἡμέραις παραμείνασα ἐν αὐτῷ βαλανείῳ, τὴν διὰ ξίφους δέχεται τελευτήν. — 2 : Προκοπίου τοῦ Παλαιστινοῦ. Οὗτος συντόνῳ φιλοσοφίᾳ τὴν ἑαυτοῦ ζωὴν ἀναθεὶς, πᾶν εἶδος ἀρετῆς τῷ ἐπιπόνῳ τοῦ βίου ἐκτήσατο. Καὶ τὸ μὲν γένος ἀπὸ τῆς Αἰλίας πόλεως εἶλκε, τὰς διατριβὰς δὲ ἐπὶ τὴν Σκυθοπολιτῶν
55 ἐποιεῖτο, τρεῖς ὑπηρεσίας τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ παρέχων, τὴν τῆς ἀναγνώσεως, τὴν ἑρμηνείαν τῆς τῶν Σύρων φωνῆς καὶ τὴν κατὰ τῶν δαιμόνων ἔλασιν. Ὡς δὲ τὰ κατ' αὐτὸν ἐγνώσθη καὶ ἤχθη εἰς Καισάρειαν, ἐπειδὴ ὁ ἄρχων θῦσαι τοῖς θεοῖς <παρήνει [5]> τὸν ἅγιον, <τέσσαρσι βασιλεῦσι [6]> πειθαρχήσαντα, ὁ μάρτυς εὐ μάλα διαπαίξας τὸν λόγον εἶπεν· « Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς γάρ, εἷς Θεὸς ὁ ποιητὴς » καὶ δημιουργὸς τῶν ὅλων. » Ταῦτα ἀκούσας ὁ ἄρχων καὶ θυμοῦ πλησθείς, τὸν διὰ ξίφους αὐτοῦ καταψηφίζεται θάνατον. Καὶ οὕτως εὕρατο σύντομον τὴν ὁδὸν τὴν εἰς τὸν οὐρανὸν ἄγουσαν. — 3. 4. —
60 **T** : Φιλήμονος (Nov. 23¹). — **L** : 1. — **O** : 1. 2. 3. 4. — Αἰκατερίνας (Nov. 24²). — **Q** : 1. 2. 3. 4. — **C** : deest. — **Ca** : 3. — **Cb** : 3. — Ἀρχίππου μαθητοῦ τοῦ ἁγίου Παύλου ἀποστόλου καὶ Φιλήμονος στρα-

[1] Βαλεριανοῦ, *infra* Βαλλεριανοῦ Ba. — [2] καὶ *add.* Ba. — [3] *cf. supra ad* S, *not. 3.* — [4] *ibid.*, *not. 4.* — [5] *in marg. add. manu rec.* — [6] *supplevi*, Da : τέσσαρσι βασιλεῖς.

Nov. 22. ἀκούσας στρατιωτῶν τινων βοώντων ἐν τῇ ἀγορᾷ ὅτι· « Ὁ Ναζωραῖος Ἰησοῦς νυκτὸς ἐλθὼν ἔκλεψε » τοὺς δεσμίους ἡμῶν, » ὑπερζέσας τῷ πνεύματι πολλὴν φροντίδα ἐτίθετο ἐπιτυχεῖν τοῦ μαρτυρίου.
. 88v. Ἐν γὰρ αὐτῇ τῇ τοῦ ἁγίου πόλει, πολλῶν | μαρτύρων ὑπὸ τῶν τυράννων κατακλεισθέντων ἐν [1] φυλακαῖς, ἐσφραγισμένων τῶν θυρῶν οὐσῶν, οἱ ἅγιοι παρὰ θείου ἀγγέλου τῶν δεσμῶν ἀπελύθησαν· ὅθεν, ἀνευρέτων αὐτῶν ὄντων, μεγάλως οἱ διῶκται διεταράχθησαν. Ἐπειδὴ δὲ ὁ Μένιγνος καὶ θείας φωνῆς καλούσης αὐτὸν καὶ πρὸς τὸν ἀγῶνα διεγειρούσης ἤκουσεν, οὐκ ἀνεβάλλετο ἀλλὰ τὰ ἱμάτια ἀποδοὺς τοῖς δεσπόταις, κναφεὺς γὰρ ἦν, καὶ τὰ προτεθέντα [2] παρὰ τῶν τυράννων γράμματα διαρρήξας, τύπτεται ὑπὸ τῶν δημίων ἀφειδῶς καὶ ἐπὶ γῆς ῥιφεὶς λὰξ ἐντείνεται καὶ κρεμασθεὶς ἐπὶ ξύλου ξέεται καὶ τοὺς δακτύλους τῶν χειρῶν καὶ τῶν ποδῶν τέμνεται· καὶ τοῖς τυράννοις ἀχθεὶς καὶ πολλὰ διαλεχθεὶς αὐτοῖς καὶ θύειν ἀπαρνησάμενος, τὴν ἐπὶ θάνατον κατακρίνεται καὶ τῷ ξίφει παρὰ τοῦ δημίου κρουσθεὶς τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο [3].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

Nov. 23. **1.** Μνήμη τῶν ἁγίων ἀποστόλων Φιλήμονος, Ἀρχίππου καὶ Ἀπφίας. Οὗτοι ὑπῆρχον ἐπὶ Νέρωνος τοῦ βασιλέως, μαθηταὶ γεγονότες τοῦ ἁγίου Παύλου. Ἐμαρτύρησαν δὲ ἐν Κολασσαῖς ἤτοι ἐν Χώναις πόλει τῆς Φρυγίας, ἥτις ἐστὶν πλησίον Λαοδικείας. Ἑορτῆς γὰρ ἀγομένης τῇ μυσαρᾷ Ἀρτέμιδι [1] ἐν τῷ αὐτῆς ναῷ τῷ ἐν Χώναις παρὰ τῶν πεπλανημένων ἑλλήνων, οὗτοι οἱ ἅγιοι τὴν δοξολογίαν ἀνέπεμπον τῷ Θεῷ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ μετὰ τῶν χριστιανῶν. Εἶτα ἐπιθέμενοι οἱ εἰδωλολάτραι τοῖς ἁγίοις, τῶν μὲν λοιπῶν φυγόντων, μόνων δὲ Ἀρχίππου καὶ Φιλήμονος [2] καὶ Ἀπφίας ὑπομεινάντων, κρατήσαντες αὐτοὺς ἤγαγον πρὸς Ἀνδροκλέα τὸν σιτοφύλακα Ἐφέσου. Τύπτεται οὖν παρ' αὐτοῦ [3] ὁ Ἄρχιππος· καὶ μὴ πεισθεὶς θῦσαι τῷ εἰδώλῳ, τῷ παρ' ἐκείνων καλουμένῳ Μηνᾷ, εἰς βόθρον ἐμβάλλεται καὶ χώννυται μέχρι τοῦ ὀμφαλοῦ· καὶ ὑπὸ παίδων σχολιτῶν γραφίοις κατακεντηθεὶς ὅλον τὸ σῶμα πρότερον, ὕστερον ἐλιθοβολήθη. Εἶτα καὶ ὁ ἅγιος Φιλήμων μετὰ ξύλων τυφθεὶς ἀνηλεῶς τελειοῦται· ὁμοίως καὶ ἡ ἁγία Ἀπφία.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου. Οὗτος ἐκ νεαρᾶς τῆς ἡλικίας πάντα βαθμὸν ἐκκλησιαστικὸν παραλλάξας καὶ ἀσκήσει καὶ θείᾳ γνώσει διαλάμψας, ψήφῳ τοῦ Θεοῦ προχειρίζεται | ἐπίσκοπος τῆς Ἰκονιέων πόλεως ἐν τοῖς χρόνοις Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος τῶν βασιλέων, παρατείνας τὴν ζωὴν μέχρι Θεοδοσίου [1] τοῦ μεγάλου καὶ τῶν υἱῶν αὐτοῦ, διδάσκαλος τῆς ὀρθοδόξου πίστεως γεγονὼς καὶ κατὰ τῆς Ἀρείου λύμης στερρῶς ἀντιταττόμενος [2], διωγμούς τε πολλοὺς καὶ θλίψεις ὑπομείνας παρὰ τῶν ἀσεβῶν, συναγωνιστὴς γεγο- f. 89

4. — [1] *om.* Sa. — [2] Sa, προτιθέντα S. — [3] ταῖς αὐτοῦ πρεσβείαις *add.* Sa.
1. — [1] Ἀρτέμηδι S. — [2] Ἄρχιππος καὶ Φιλήμων S. — [3] παρ' αὐτοῦ *om.* Sa.
2. — [1] *corr.*, *prius* Θεοδωσίου S. — [2] ἀντιταξάμενος Sa.

Nov. 22. τιώτου (Nov. 23[1]). — **Cc** : 3. — **M** : 1. — Ὁ ἅγιος Μάξιμος ὁ καπικλάριος αἰκισθεὶς τ. — 3 (Μάρκου, Στεφάνου καὶ Μάρκου). — 2. 4. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀββᾶ. — Ὁ ἅγιος Χριστοφόρος καὶ Εὐφημία μαχαίρᾳ τ. — Τῶν ἁγίων μαρτύρων Θαλελαίου καὶ Ἀνθίμου. — Ὁ ὅσιος Κάλλιστος ἐν εἰρήνῃ τ. — Ὁ ἅγιος Θαδδαῖος. — **Mv** : 1. — Φιλήμονος, Ἀρχίππου καὶ Ἀπφίας (Nov. 23[1]). — 3 (Μάρκου, Στεφάνου καὶ ἑτέρου Μάρκου). — 2. 4. — Ἀββᾶ. — Χριστοφόρος καὶ Εὐφημία. — Θαλλελαῖος καὶ Ἄνθιμος. — Κάλλιστος. — Θαδδαῖος. — Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀγαπίωνος, Συσινίου ἱερομάρτυρος καὶ Ἀγαπίου. — **Mr** : Φιλήμονος, Ἀρχίππου, Ἀπφίας καὶ Ὀνησίμου (cf. Nov. 23[1]). — 1.

Nov. 23. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 1. 3. — Μενίγνου (Nov. 22[4]). — Προκοπίου τοῦ ἐν Περσίδι (cf. Nov. 22[2]). — 4. 5. — **P** : 1. 3. — Μενίγνου. — Προκοπίου τοῦ ἐν Περσίδι. — 4. 5. — **Da** : 3 : Τοῦ ἁγίου ἱερομάρτυρος Σισιννίου. — 1. — **Db** : 2. 3. — **F** : 1. 3. — Μενίγνου. — **Fa** : 1. 3. — Μενίγνου [1] τοῦ κναφέως. Ὃς ἤθλησεν ἐπὶ Δεκίου τὸ πρῶτον, ὥρμητο δὲ ἀπὸ Κολωνίας τοῦ Ἑλλησπόντου [2] ἐκ πόλεως Παρείου. Ὁ δὲ τρόπος τῆς αὐτοῦ μαρτυρίας ἐστὶν οὗτος. Ἐν τῇ αὐτοῦ πόλει πολλῶν ἁγίων ὑπὸ τῶν τυράννων ἐγκεκλεισμένων καὶ ταῖς πύλαις σφραγίδων ἐπικειμένων, ὅρθρου βαθέος οἱ ὑπηρέται ἀφίκοντο τοὺς ἁγίους ἀναληψόμενοι καὶ τὰς μὲν σφραγῖδας τῆς φυλακῆς σῶας καὶ ἀπαρασαλεύτους εὗρον, ἔνδον δὲ εἰσελθόντες οὐδένα εὗρον, ἀλλ' ἱκανῶς δυσφημήσαντες καὶ τοὺς χιτῶνας διαρρήξαντες ἐβόων ἐν ταῖς ἀγοραῖς· « Ὁ Ναζωραῖος Ἰησοῦς νυκτὸς ἐλθὼν ἔκλεψεν τοὺς » δεσμίους ἡμῶν. » Ἐκ δὲ τῆς τοιαύτης αἰτίας ἔρωτα λαβὼν τοῦ μαρτυρίου ὁ ἅγιος Μένιγνος καὶ ὑπερζέσας τῷ πνεύματι, πολλὴν φροντίδα ἐτίθετο τοῦ τυχεῖν. Ὡς δὲ τὸ τηνικαῦτα ἐν τῷ παραθαλασσίῳ τόπῳ φελώνην ἐργαζόμενος διετέλει — ἦν γὰρ κναφεὺς ὡς προείρηται — ἤκουσε καὶ ἅπαξ καὶ δὶς φωνῆς τοιᾶσδε· « Μένιγνε, φησίν, ἐλθὲ πρός με καὶ δώσω σοι χάριν ἐνώπιόν μου. » Καὶ ἅμα τῷ λόγῳ τὰ ἱμάτια ἀποδοὺς τοῖς δεσπόταις, τοῦ τυράννου τὸ τηνικαῦτα ἐνδημήσαντος καὶ τὰ διατάγματα ἐκτεθηκότος τὰ παρακελευόμενα θύειν καὶ ἀρνεῖσθαι τὸν Χριστόν, κρούσας τὰς χεῖρας αὐτὸς πρόσεισι ζέων τῷ πνεύματι, καὶ διαρρήξας τοὺς χάρτας καὶ ῥίψας χαμαὶ κατεπάτησεν. Εὐθέως δὲ αὐτὸν ἀφειδῶς οἱ δήμιοι ἔτυπτον καὶ ἐπὶ γῆς ῥίψαντες, λὰξ κατ' αὐτοῦ ἐνείλοντο· ἔτι δὲ ἐπὶ τοσοῦτον ἔξεσαν κρεμασθέντα, ἕως ἡ κεκρυμμένη τῶν σπλάγχνων οἰκονομία διὰ τῶν πλευρῶν ἐφανερώθη· εἶτα μαχαίρᾳ τοὺς δακτύλους τῶν χειρῶν αὐτοῦ ἔκοψαν, ἐξ ὧν ἀντὶ αἵματος γάλα ἔρρευσεν· καὶ δὶς καὶ τρὶς καὶ πολλάκις

[1] Μενήγνου Fa. — [2] Κολονίας τοῦ Ἑλισπόντου Fa.

νὼς τῶν μακαρίων πατέρων Βασιλείου τοῦ μεγάλου καὶ Γρηγορίου τοῦ θεολόγου καὶ Γρηγορίου τοῦ Νύσσης κατὰ τῆς Εὐνομίου τοῦ δυσσεβοῦς βλασφημίας. Οὗτος καὶ τῶν ἐν τῇ δευτέρῃ [3] συνόδῳ πατέρων εἷς ὑπάρχων, πλεῖστα διηγωνίσατο κατὰ Μακεδονίου τοῦ πνευματομάχου καὶ τῶν φοιτητῶν Ἀρείου. Μετὰ δὲ τὸ κρατῆσαι τῆς βασιλείας Θεοδόσιον τὸν μέγαν καὶ τὸν νέον Οὐαλεντινιανὸν καταστρέψαι καὶ νικήσαντα ἐπανελθεῖν [4], ἠντιβόλει ὁ μέγας Ἀμφιλόχιος τὸν μέγαν [5] Θεοδόσιον ἀπώσασθαι τοὺς ἀρειανούς. Ἐπεὶ οὖν ὁ βασιλεὺς παρῃτεῖτο, ἐξεῦρε μηχανὴν ὁ θαυμάσιος καὶ παρελθὼν εἰς τὰ βασίλεια, τὸν μὲν βασιλέα Θεοδόσιον ἠσπάσατο, τὸν δὲ υἱὸν αὐτοῦ Ἀρκάδιον κατέλιπεν οὕτως. Ὁ δὲ βασιλεὺς δυσχεράνας, οἰκείαν ἐκάλει παροινίαν τὴν τοῦ παιδὸς ἀτιμίαν. Ὁ δὲ σοφώτατος ἐκκαλύπτει τὸ δρᾶμα καί φησιν· « Ὁρᾷς, ὦ βασιλεῦ, πῶς οὐ φέρεις τὴν τοῦ παι- Nov. 23.
» δὸς ἀτιμίαν ἀλλὰ χαλεπαίνεις; πίστευσον οὖν » ὅτι καὶ τοὺς εἰς τὸν τοῦ Θεοῦ υἱὸν βλασφημή- » σαντας ὁμοίως καὶ ὁ Θεὸς ἀποστρέφεται καὶ » μισεῖ. » Τότε συνεὶς ὁ βασιλεὺς τὸ γεγονός, νόμους ἔγραψε τοὺς τῶν αἱρετικῶν συλλόγους κωλύοντας. Οὗτος ὁ ἀοίδιμος ἀνὴρ ἐπὶ πλείστους χρόνους ποιμάνας τὸ [6] τοῦ Χριστοῦ [7] ποίμνιον καὶ λόγους ὀρθοδοξίας συντάξας καὶ εἰς βαθὺ γῆρας ἐλάσας, ἐν εἰρήνῃ ἀνεπαύσατο.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σισιννίου. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Ἀλεξάνδρου ἡγεμόνος, ἐκ πόλεως Κυζίκου ὁρμώμενος. Οὗτος τὸν ἐγκάρδιον ἰὸν τῆς λοιμώδους αἱρέσεως ἐρευξάμενον Ἄρειον συνόδου μέσον θεοπρεποῦς [1], σοφῶς [2] καὶ ὑπερφυῶς ἀπηχόνισεν, ὁμοούσιον ἀποφηνάμενος τῷ

— [3] δευτέρα Sa. — [4] ἐν τῇ πόλει *add.* Sa. — [5] μέγα S. — [6] *om.* Sa. — [7] τὸ *add.* Sa.
3. — [1] θεοπρεπῶς Sa. — [2] τε *add.* Sa.

ξεσθεὶς τῷ δεσμωτηρίῳ ἐμβάλλεται. Ἐκεῖθεν δὲ ἐξελθὼν καὶ πολλὰ διαλεχθεὶς τῷ τυράννῳ καὶ ἀπαρνη- Nov. 23.
σάμενος θύειν, τὴν ἐπὶ θάνατον κατακρίνεται. Φήσας δὲ πρὸς τοὺς παρόντας· « Τοῖς ὁμοπίστοις μου καὶ » ὁμοψύχοις τὴν ἐμὴν γυναῖκα παρατίθημί μοι· » — καὶ γὰρ κἀκείνη ὁλοφυρομένη ἐπηκολούθει τῷ μάρτυρι — τῷ ξίφει παρὰ τοῦ δημίου κρουσθεὶς τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο. Τῷ δὲ παρισταμένῳ ὄχλῳ οἷον τρυγὼν τοῦ τιμίου αὐτοῦ σώματος ἐξελθοῦσα ἡ ψυχὴ αὐτοῦ ἐφάνη καὶ πρὸς οὐρανὸν ἀνέπτη· ἐφ' ᾧ γεγονότι πολλοὶ τῷ Κυρίῳ ἐπίστευσαν. — **B** : 1. — **Ba** : 2. 3. — Γρηγορίου ἐπισκόπου Ἀκραγαντίνων (= Db, Nov. 24). — **T** : 2. — **L** : 2. — **O** : Κλήμεντος (Nov. 25[1]). — **Q** : 2. 3. — **C** : deest. — **Ca** : 1 (Ἀρχίππου μαθητοῦ Παύλου τοῦ ἀποστόλου καὶ Φιλήμονος τοῦ στρατιώτου). — 3. — Καὶ Μενίγνου (Nov. 22[4]) καὶ τοῦ ἁγίου μάρτυρος Προκοπίου τοῦ ἐν Περσίδι μαρτυρήσαντος (cf. Nov. 22[2]). — 4. — **Cb** : Κικιλίας (Nov. 22[1]). — **Cc** : 1 (om. Ἀπφία). — 3. — Μενίγνου. — Προκοπίου τοῦ ἐν Περσίδι. — 4. — **M** : 2. 3. — Ὁ ἅγιος Ἰσχυρίων ἐπίσκοπος ἐν εἰρήνῃ τ. — 5 (Ἑλένου ἐπισκόπου Ταρασίου). — Διήγησις ὀπτασίας Ἰωάννου τινὸς νεωτέρου [3] πάνυ ὠφέλιμος. Ἐγένετό τις ἀνὴρ ἐν ταῖς ἡμέραις Κωνσταντίνου τοῦ βασιλέως, ὃς καὶ γνωστὸς ἦν αὐτῷ τῷ βασιλεῖ [4] διά τινος ἐπιστήμης γνωριζόμενος. Οὗτος ἀσέμνως τὸν ἑαυτοῦ μετερχόμενος βίον [5], τὴν γέενναν οὔποτε ἀνετυπώσατο. Ὁ δὲ πρὸς τὸ συμφέρον πάντα καλῶς οἰκονομῶν Κύριος δι' ὀπτασίας τούτῳ τὴν διόρθωσιν πραγματεύεται. Ἔδοξε γάρ ποτε τὸν ἄνδρα βλέπειν καθ' ὕπαρ, τῆς οἰκείας ἐπιστήμης εἶδος τῷ βασιλεῖ προσαγαγεῖν [6], ὡς μετὰ ταῦτα προσομιλεῖν ἀλλήλοις καὶ συναγάλλεσθαι. Εἶθ' οὕτως ἔδοξεν ἀποτυμνῶσαι τὸν βασιλέα μάχαιραν καὶ τὴν κόμην συναγαγεῖν τοῦ ἀνδρὸς εἰς ἕνα ἐπίδεσμον καὶ πειρᾶσθαι τέμνειν ταύτην ἀνηλεῶς· τοῦ ἀνδρὸς τὸν αὐχένα συχνῶς ἐπικλίνοντος καὶ τὸ δοκεῖν πρὸς τὸν βασιλέα ἐπιγελῶντος, ἐμβριθῶς τὸν βασιλέα πρὸς ἐκεῖνον φθέγξασθαι· « Ὅτε σου τὰς τρίχας ἡ μάχαιρα καταφάγεται, τότε σου καὶ τοῦ » αἵματος τοῦ τραχήλου [7] ἐμπλησθήσεται. » Προσεπιτούτοις τῇ καταφορᾷ τῆς μαχαίρας καὶ αὐτὸς ὁ τράχηλος ἔδοξεν ἀποτμηθῆναι καὶ πλησίον τοῦ θώρακος τῆς μαχαίρας ἐλθούσης, ὁ ἀνὴρ ὁ [8] ἀγωνιῶν, βοήθειαν δήπουθεν [8] προσεκαλεῖτο. Ἐκ δὲ τοῦ δέους καὶ τοῦ φρικώδους ἐκείνου ἀγῶνος ἀνανήψας [3] πρὸς ἑαυτὸν ὅλως ἔκθαμβος ἐγεγόνει· καὶ τῷ σταυρῷ ἑαυτὸν σημειωσάμενος· « Εὐχαριστῶ σοι, » ὄνειρε, ἔλεγεν, ὅτι μοι τὸν φοβερὸν τοῦτον ἀγῶνα εἰς φάντασμα ἀπετέλεσας. » Καὶ πάλιν, ὡς οἶμαι, ὁ αὐτὸς μεμένηκεν ἀδιόρθωτος. Καὶ μετά τινα χρόνον ὁ αὐτὸς περιοδευθεὶς νόσῳ, ἐκ Θεοῦ τὴν βοήθειαν ἐπεκαλεῖτο. Τότε πάλιν οὐκ ἐν ὀνείροις ἀλλ' ἐν ἐκστάσει ἤδη γενόμενος, ὁρᾷ ἑαυτὸν ἐπί τινος σεκρετικῆς ἑστῶτα καθέδρας ἢ μᾶλλον δικαστικῆς καταστάσεως, καὶ ταύτης προκαθεζόμενον ἔβλεπε προσεδόκει [9] τινὰ φοβερώτατον [10] βασιλέα στολὴν ἠμφιεσμένον βασιλικὴν ἅμα καὶ ἀρχιερατικήν. Ἐξ ἑκατέρων δὲ [11] τούτου μερῶν καθῆσθαι ἔνθεν κἀκεῖθεν ἱεροπρεπεῖς τινας κατενόει· ἑστάναι δὲ ἑαυτὸν κάτωθεν ὑπελάμβανεν ἤδη τῆς φαινομένης ἐκείνης τραπέζης [12]· πρὸς δὲ τὰ τούτου δεξιὰ [13] εὐειδεῖς ἑστῶτάς τινας [14] εὐνούχους ὑπετόπαζεν· ἐξ εὐωνύμων δέ τινα ταπεινότερον ἄλλον καὶ προσηνέστερον ἔβλεπε· βόθρον δέ τινα σκοτεινὸν ὄπισθεν αὐτοῦ [9] καὶ φοβερὸν κατενόει, ὀδύνην μεγάλην τῷ βλέποντι παρεχόμενον. Καὶ οὕτως ἑαυτὸν ἑστάναι σὺν τρόμῳ ὑπετόπαζε καί φησι πρὸς αὐτὸν ὁ προκαθήμενος βασιλεύς· « Ἀρά γε οἶδας, ὅστις ἐγώ, ὦ νεανία; » Κἀκεῖνος· « Γινώσκω, δέσποτα, ὅτι σὺ εἶ ὁ δι' ἡμᾶς » σαρκωθεὶς [15] ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός, ὡς αἱ καθ' ἡμᾶς γραφαὶ περιέχουσι. » Καὶ πάλιν πρὸς αὐτὸν ὁ βασιλεύς [16]· « Καὶ εἰ ἀπὸ τῶν γραφῶν, ὡς σὺ φῄς, ἐμὲ διέγνως, οὐδὲ τοὺς συγκαθέδρους ἀγνοεῖς· καὶ » πῶς ἐπελάθου τῆς ἀπειλῆς, ἧς σοι πάλαι Κωνσταντῖνος ὁ βασιλεὺς ἠπειλήσατο [17]; ἀγνοεῖς τὸ λεγό-

— [3] *om.* Mv. — [4] τ. β. *om.* Mv. — [5] βίον μετερχόμενος Mv. — [6] προσαγεῖν τῷ βασιλεῖ Mv. — [7] τοῦ τραχήλου τοῦ αἵματος Mv. — [8] ὅθεν δήποτε Mv. — [9] *om.* Mv. — [10] φερώτατον Mv. — [11] τῶν *add.* Mv. — [12] τραπέζης ἐκείνης Mv. — [13] πρὸς τὰ δεξιὰ δὲ Mv. — [14] τινας ἑστῶτας Mv. — [15] σαρκωθεὶς δι' ἡμᾶς Mv. — [16] βασιλεὺς πρὸς αὐτόν Mv. — [17] ἢ *add.* Mv.

Nov. 23. Πατρὶ τὸν Υἱόν. Οὗτος πρὸς τὸν ἡγεμόνα Ἀλέξαν-
δρον ὡς χριστιανὸς διαβληθείς, ἀκάθεκτοις ἵπποις
f. 89v. χαλινῶν δίχα προσεδέθη· καὶ παν|ταχοῦ ἀπηνῶς
εἵλκετο τούτων ἐλαυνομένων. Οὕτω γὰρ προσε-
τάγη τοῖς δημίοις παρὰ τοῦ τυράννου, ὡς ἂν τὰς
τῶν μελῶν [3] ἁρμονίας ὁ ἅγιος τῇ σφοδρότητι τῆς
ἀνυποίστου ἱππασίας διαρραγῇ· ἀλλὰ θείᾳ χάριτι
ἀπήμαντος ἐκ τῆς τούτων βλάβης διεφυλάχθη.
Ἔπειτα γυμνῷ τῷ σώματι τοῦτον ἀφειδῶς τύπτε-
σθαι παρεκελεύετο [4]· ὁ ἀλιτήριος καὶ διὰ τῶν
μυκτήρων αὐλίσκῳ τινὶ δριμὺ καὶ πυρὸς θερμότε-
ρον ὄξος τῷ ἐγκεφάλῳ αὐτοῦ ἐγχεῖσθαι καὶ τῇ
εἱρκτῇ ἐναπορρίπτεσθαι· πολλὰς δὲ καὶ ἑτέρας
βασάνους [5] καθυπομείνας καὶ θαύματα μέγιστα
ἐκτελέσας, εἶτα ζήσας ἐπιεικῶς καὶ τῷ Θεῷ [6]
λατρεύσας θεοφιλῶς, ἐν βαθεῖ [7] γήρᾳ καὶ πίονι 5
πρὸς Κύριον ἐξεδήμησε.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας [1] Μυρό-
πης [2]. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῇ ἁγιωτάτῃ
ἐκκλησίᾳ τῆς ἁγίας Εἰρήνης τῇ οὔσῃ πρὸς θάλασσαν.

5. Καὶ μνήμη τοῦ ἁγίου Ἑλένου ἐπισκόπου 10
Ταρσοῦ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔ'.

Nov. 24. 1. Μνήμη τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου
τῆς [1] Ἀκραγαντίνων πόλεως ἐπὶ τῆς βασιλείας
Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου. Χαρίτων τις καὶ
Θεοδότη ἡ σύμβιος αὐτοῦ φιλόξενοι ἄνθρωποι
ὑπῆρχον ἐν τῇ πόλει Ἀκραγαντίνων· ἐξ ὧν ἐγεν-
νήθη Γρηγόριος οὗτος· ὃν ἐκ τοῦ ἁγίου βαπτίσμα-
τος δεξάμενος ὁ ἐπίσκοπος Ποταμίων λεγόμενος
ἀνέθρεψεν, εἶτα καὶ κληρικὸν πεποίηκεν. Δεκαοκτὼ 15
δὲ ἐτῶν [2] γενόμενος, ἀπῆλθε προσκυνήσων τοὺς
ἁγίους τόπους καὶ γίνεται διάκονος ὑπὸ Μακαρίου

— [3] μελλῶν S. — [4] παρακελεύετο Sa. — [5] βασάννους S. — [6] θειῷ S. — [7] βαθῦ S, βαθυτάτῳ Sa.
4. — [1] μάρτυρος *add.* Sa. — [2] Μερόπης Sa.
1. — [1] τῶν *add.* Sa. — [2] ὀκτωκαίδεκα ἐτῶν Sa. 20

Nov. 23. » μενον; » — « Οὐκ ἀγνοῶ, φησί, τὸ εἰς ἐμέ [18], δέσποτα, ἀλλ' εἰσέτι καὶ τοῦ φόβου τὰ λείψανα ἐν τῇ
» ψυχῇ περιφέρω. » Καὶ ὁ βασιλεύς· « Καὶ εἰ τοῦ φόβου τὰ λείψανα ἐν τῇ ψυχῇ σου [19] περιφέρεις, πῶς
» ἐπιμένεις τοῖς ὀλεθρίοις; τοιγαροῦν [20] μάθε διὰ τῆς πείρας, ὅτιπερ καὶ πρώην ἐγὼ καὶ οὐχὶ Κωνσταν-
» τῖνος τὴν φοβερὰν ἐκείνην τῆς βασάνου πεῖραν [21] ἐπήγαγε [22]. » Καὶ τοῦτο εἰπών, ἔδοξε νεύσει μόνῃ
τοῖς παρεστῶσι κελεῦσαι, ἀκοντίσαι τὸν ἄνδρα εἰς τὸν ὄπισθεν αὐτοῦ ἐπιφαινόμενον βόθυνον. Ὡς οὖν 25
ἤδη ἀπηνῶς ἥρξαντο οἱ εὐνοῦχοι τοῦτον ὠθεῖν πρὸς τὸν βόθυνον [23], ὁ δὲ γοερῶς τὴν τῆς Θεοτόκου
ἀνεκαλεῖτο [24] βοήθειαν, ἔδοξε [25] κἀκείνην μέσον εὑρεθῆναι, καὶ φωνῆς ἀκοῦσαι λεγούσης· « Ἄφετε-
» τοῦτον ἀπελθεῖν διὰ τὴν τῆς ἐμῆς [19] μητρὸς δέησιν. » Καὶ ὡς ὁ τῆς ὀπτασίας λόγος τὸ πέρας εἴληφε,
σύντρομος ὁ ἀνὴρ γεγονὼς καὶ πρὸς ἑαυτὸν ἐπανελθὼν τὸ φανὲν παράδοξόν τινι τῶν εὐλαβῶν
μοναχῶν διηγήσατο. Καὶ ὁ μοναχὸς πρὸς αὐτόν· « Δὸς δόξαν τῷ Θεῷ, ὅτι τοιαύτης κατηξιώθης διδα- 30
» σκαλίας [26]· καὶ διεγέρθητι, ἀδελφέ, μὴ καὶ σὺ πάθῃς τὰ παραπλήσια οὗ [27] μέλλω σοι διηγήσασθαι.
» Κατὰ γὰρ τὴν σὴν ὀπτασίαν, τοιοῦτόν τις ἐθεάσατο, ἄνδρα τινὰ τῶν ἐν τοῖς πρώτοις [28] σεκρέτοις
» πρωτεύοντα, Γεώργιον τοὔνομα, βιαίως ἀπαγόμενον δέσμιον ἔν τινι φοβερῷ χάσματι καὶ ἀπορρί-
» πτεσθαι μέλλοντα. Ἐν ᾧ τις εὐπαρρησιάστως [29] τοὺς ἀπάγοντας ἐπικατασχὼν τοῦτον ἀνεθῆναι
» προσήτει μέχρις ἡμερῶν εἴκοσι παρεγγυώμενος αὐτοῖς τὴν τούτου διόρθωσιν. » Ὡς δὲ λοιπὸν ὁ ἀνὴρ 35
τῇ βοηθείᾳ τοῦ ἐγγυωμένου ἐγένετο ἄνετος, ὁ ταῦτα βλέπων ἐπανανήψας [30] καὶ συνεὶς τὸ βλεπόμενον,
ἀπαγγεῖλαι [31] τὸ ὅραμα πρὸς αὐτὸν τὸν Γεώργιον ἔσπευσεν· ἦν γὰρ καὶ γνωστὸς αὐτῷ· ὁ δὲ τούτων
ἀκούσας καὶ ἀντ' οὐδενὸς λογισάμενος, ἔμεινεν ὁ αὐτός. Καὶ τῶν εἴκοσιν ἡμερῶν διελθουσῶν, ἀνάρ-
παστος γέγονεν ὁ Γεώργιος καὶ ἀπῆλθε τὴν ὀφειλὴν πάντως ἀποδώσων, ὡς ὑπέσχετο. Καὶ ταῦτα κατὰ
προσθήκην τοῦ μοναχοῦ συνείραντος, ὁ ἀνὴρ ἀκούσας ἐν νῷ δὲ λαβὼν καὶ ἃ [32] ἐθεάσατο, τὰ ἑαυτοῦ 40
ἀνερυθριάστως δημοσιεύσας καὶ τὸν βίον πρὸς κρείττονα ἐναλλαγὴν [33] μεταρυθμίσας, διήρκεσεν ἐπὶ
πολὺ θαρέστως βιώσας· καὶ μεταστὰς ἀπῆλθε πρὸς τὰς αἰωνίους μονάς. — **Mv** : 2. — Γρηγορίου
ἐπισκόπου τῆς Ἀκραγαντίνων ἐκκλησίας (Nov. 24[1]). — 3. — Ἰσχυρίων. — 5. — Διήγησις ὀπτασίας
Ἰωάννου τινὸς πάνυ ὠφέλιμος. — **Mr** : 2. — Γρηγορίου ἐπισκόπου τῆς Ἀκραγαντίνων ἐκκλησίας.

Nov. 24. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῷ ναῷ τῆς ἁγίας μάρτυρος 45
Χριστίνης, πλησίον τοῦ μεγάλου Παλατίου. — 2. 3. 4. 5. 6. 7. 8. — **H** : Κικιλίας καὶ τῶν σὺν αὐτῇ
(Nov. 22[1]). — 6. 7 et 1 (Μακαρίου, Γρηγορίου καὶ Ἑρμογένους). — 8. — **P** : Κικιλίας καὶ τῶν σὺν
αὐτῇ. — 1. 6 : Τοῦ ἁγίου Φιλουμένου. — **Da** : 1 : Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ
Ἀκραγαντίνου. Αὕτη δὲ ἡ ἡμέρα οὐκ ἔχει συναξάριν ἐν τῷ Ἀθηβολίῳ. — **Db** : 1 : Γρηγορίου ἐπισκόπου
τῆς Ἀκραγαντίνων πόλεως. Ὃς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου, ὁρμώμενος 50
τῆς Σικελῶν ἐπαρχίας, Χαρίτωνος καὶ Θεοδότης γέννημα εὐσεβῶς ζώντων ἐν αὐταρκείᾳ. Οἳ ὀκταετῆ τὸν
Γρηγόριον ὑπάρχοντα δεδωκότες ἐκπαιδεύεσθαι τὰ ἱερὰ γράμματα, κληρικὸς ὑπὸ Ποταμίωνος [1] τοῦ
ἐπισκόπου σφραγίζεται, πάντας ἐν τῷ ψάλλειν εὐφραίνων τῇ τῆς φωνῆς ἡδύτητι· καί ποτε ὑπνοῦντι
αὐτῷ ἔμπροσθεν τῆς κλίνης Δαμιανοῦ τοῦ ἀρχιδιακόνου, κέκληκεν αὐτὸν ἄγγελος Θεοῦ ἐκ τρίτου καθὰ

— [18] τὸ εἰς ἐμὲ *om.* Mv. — [19] *om.* Mv. — [20] ὅμως Mv. — [21] πείραν τῆς βασάνου Mv. — [22] ἐπήγαγον Mv. — [23] (ὡς οὖν - βόθυνον) *om.* Mv. — [24] ἐπεκαλεῖτο Mv. — [25] δὲ *add.* Mv. — [26] διδασκαλίας κατηξιώθης Mv. — [27] ἃ Mv. — [28] τοῦ σεκρέτου Mv. — [29] Mv. εὐπαρρησιάσθων M. — [30] ἀνανήψας Mv. — [31] ἀναγγεῖλαι Mv. — [32] (ἐν - ἃ) καὶ ἐν νῷ βαλὼν ὧν Mv. — [33] μεταβολὴν Mv.
[1] Ποταμίονος Db.

ἐπισκόπου Ἱεροσολύμων. Εἶτα ὑπέστρεψεν εἰς τὸ
Βυζάντιον, εἶτα εἰς Ῥώμην· ἐν ᾗ καὶ προχειρίζεται
ἐπίσκοπος Ἀκραγαντίνων. Ὅθεν φθονήσαντες
αὐτῷ Σαβῖνος καὶ Κρισκεντῖνος [3] μυρίους πειρα-
5 σμοὺς ὑπήγαγον· καὶ θαυματουργήσας διαφόρως [4]
Θεοῦ χάριτι κατήσχυνεν αὐτοὺς ἐνσημανθέντας [5]
τὰ πρόσωπα γνόφῳ καὶ μέλανι· καὶ οὕτω παραλα-
βὼν τὴν ἐκκλησίαν καὶ μείζονα τῶν προτέρων ἐπι-
τελῶν [6] σημεῖα καὶ τέρατα, ἐν βαθυτάτῳ [7] γήρᾳ τὸν
10 βίον ἀπέλιπεν [8].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος [1]
Αἰκατερίνης. Αὕτη ὑπῆρχεν ἐν Ἀλεξανδρείᾳ τῇ
πόλει, βασιλίσκου τινὸς θυγάτηρ ὀνόματι Κώστου [2],
μέγεθος ἅμα καὶ κάλλος [3] σώματος ἔχουσα, εἰς
ἄκρον ἐκμαθοῦσα πᾶσαν ἑλληνικὴν καὶ ῥωμαϊκὴν Nov. 24.
παίδευσιν· καὶ τοῖς κατὰ τὴν ἰατρικὴν φιλο|πονή- f. 90.
σασα συγγράμμασι [4] καὶ φωνὰς ἑτερογλώσσους
πολλῶν ἐθνῶν ἐκμαθοῦσα, διὰ δὲ τὴν εἰς Χριστὸν
πίστιν ἐπὶ τοῦ βασιλέως Μαξεντίου πολλῶν
βασάνων [5] πεῖραν λαβοῦσα, τὴν κεφαλὴν ἀπο-
τέμνεται καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀναδέ-
χεται.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος
Ἀλεξάνδρου τοῦ ἐν Κορίνθῳ [1].

4. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγο-
ρίου τοῦ ἐν τῇ Χρυσῇ Πέτρᾳ. Ὃς ὥρμητο ἐκ τῶν
τῆς ἀνατολῆς μερῶν· καὶ ἐλθὼν κατέπαυσεν ἐν τῇ
λεγομένῃ Χρυσῇ Πέτρᾳ.

15 — [3] *corr.* Sa, *prius* Ῥισκεντῖνος, *et add.* μοχθηροί τινες ἄνδρες. — [4] τῇ τοῦ *add.* Sa. — [5] ἐνσημαθέντας Sa. — [6] ἐπιτελέσας Sa. — [7] βαθεῖ Sa. — [8] τελεῖται δὲ κτλ. *add.* Sa *inter* Synaxaria selecta.
2. — [1] μεγαλομάρτυρος καὶ καλλιπαρθένου τοῦ Χριστοῦ Sa. — [2] Κόστου Sa, *al.* Κώνστου *infra*, Fa. — [3] *om.* Sa. — [4] παίδευσιν *add.* Sa. — [5] βασάννων S.
3. — [1] τοῦ Κορινθίου Sa.

---

20 καὶ τὸν Σαμουήλ. Ὁ δὲ ἀκολουθῶν τῷ καλέσαντι, καταλαμβάνει τὴν Καρτάγενναν καὶ εὑρὼν Μάρκον Nov. 24.
τινὰ μοναχόν, φθάνει σὺν αὐτῷ τοὺς ἁγίους τόπους· καὶ πάντα ἅγιον τόπον σχετικῶς προσκυνήσας
κατὰ τὴν ἔρημον ἐξέρχεται, ἔνθα γέροντά τινα σημειοφόρον εὑρὼν προσμείνας τε ἐν αὐτῷ τέσσαρας
χρόνους, παιδεύεται παρ' αὐτοῦ πᾶσαν σοφίαν. Ἔπειτα εἰς Ἀντιόχειαν ἔρχεται κἀκεῖθεν εἰς Κωνσταντι-
νούπολιν· ἐν ᾗ Γεωργίῳ τῷ τηνικαῦτα πατριαρχοῦντι ἐμφανισθεὶς Σέργιόν τε καὶ Κῦρον καὶ Παῦλον καὶ
25 τοῖς λοιποῖς αἱρετικοῖς συμπλακεὶς καὶ ἀνὰ κράτος τούτους τρεψάμενος τῷ βασιλεῖ γνώριμος καθί-
σταται. Μετὰ ταῦτα τὴν Ῥώμην καταλαμβάνει καὶ τῆς οἰκείας πατρίδος οἴακας ἐγχειρίζεται· μεγάλως δὲ
διαλάμψας ἐν τῇ ἐκκλησίᾳ καὶ θαύματα μέγιστα ἐπιτελέσας, παρὰ Σαβίνου καὶ Κρισκεντίου μοιχείας
ἐγκλήματι περιάπτεται καὶ κατάκλειστος ἐν φυλακῇ ἐπὶ δυσὶ χρόνοις γίνεται παρὰ τοῦ τὸν ἀποστολικὸν
θρόνον ἰθύνοντος· καὶ αὖθις ἐξάγεται προστάξει βασιλικῇ μετὰ τῶν αὐτοῦ κατηγόρων δικασθησόμενος.
30 Ὅτε καὶ τὰ παραδοξότατα ἐκεῖνα σημεῖα τῶν τε ξύλων καὶ τῶν ἀνθράκων ἐπετελέσθη, τοῦ Θεοῦ τὸν
ἴδιον θεράποντα ὑπερδοξάζοντος [2] καὶ γνόφῳ μέλανι τῶν ἀνοσίων ἐκείνων καὶ ἀνιέρων τὰ πρόσωπα
κατεκαλύφθη. Ἥ τε ὑπ' αὐτῷ φενακισθεῖσα κόρη ὀλεθρίῳ δαίμονι αὐτάρκως παιδευθεῖσα παρὰ τοῦ
ἁγίου, ἔμπροσθεν παντὸς τοῦ λαοῦ ἰάθη καὶ ὁ ἅγιος αὖθις εἰς τὴν ἰδίαν πατρίδα μεγαλοπρεπῶς
ἐπανῆλθε, μείζονα τῶν προτέρων ἐπιτελῶν σημεῖα καὶ τεράστια. Οὗτος πλεῖστα ἐπιβιώσας θεαρέστως
35 ἔτη, πρὸς Κύριον ἐξεδήμησεν. — 2. — **F** : 1. 2. — **Fa** : 1. 2 : Αἰκατερίνας. Αὕτη ὑπῆρχεν τῆς μεγα-
λωνύμου πόλεως Ἀλεξανδρείας γέννημα, θυγάτηρ βασιλίσκου τινὸς ὀνόματι Κώνστου, πάνυ οὖσα
ὡραία καὶ τῷ κάλλει ἀμώμητος [3] καὶ ὑπερμεγέθης τῇ ἡλικίᾳ καὶ τῷ σώματι ἀστεία. Ἦν δὲ ἐτῶν ὀκτω-
καίδεκα. Αὕτη πᾶσαν παιδείαν ἑλληνικήν τε καὶ ῥωμαϊκὴν ἄκρως ἐγγυμνασθεῖσα, φημὶ δὴ Ὁμήρου
τε καὶ Βιργιλίου [4] τοῦ Ῥωμαίων μεγίστου ποιητοῦ, Ἀσκληπιοῦ τε καὶ Γαληνοῦ [5] καὶ Ἱπποκράτους τῶν
40 ἰατρῶν, Ἀριστοτέλους καὶ Πλάτωνος, Φιλιστίωνος τε καὶ Εὐσεβίου τοῦ φιλοσόφου, Ἰαννῆ καὶ Ἰαμβρῆ
τῶν μάγων, Διονυσίου καὶ Σιβύλλης [6] καὶ ὅση ῥητορικὴ ἐφευρέθη τῷ κόσμῳ· οὐ μὴν δὲ ἀλλὰ καὶ
πᾶσαν λέξιν τῶν ἑβδομήκοντα δύο γλωσσῶν τὴν διάλεκτον μεμαθηκυῖα εἰς ἔκπληξιν ἔφερεν οὐ μόνον
τοὺς ὁρῶντας αὐτὴν ἀλλά γε καὶ τοὺς ἀκούοντας τὴν φήμην τῆς σοφίας καὶ παιδείας αὐτῆς· διὰ δὲ τὴν
εἰς Χριστὸν ὁμολογίαν ἐπὶ τοῦ βασιλέως Μαξεντίου πολλῶν βασάνων πεῖραν λαβοῦσα, τὴν κεφαλὴν
45 ἀποτέμνεται καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀναδέχεται. — **B** : Κικιλίας. — Σισιννίου (Nov. 23[3]). —
1. — **Ba** : 2. — In margine fol. 135 : τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μερκουρίου. — **T** :
1. — **L** : 1. — **O** : Πέτρου Ἀλεξανδρείας (Nov. 25[2]). — **Q** : 1. 2. — **C** : deest. — **Ca** : Κικιλίας mutil. —
Cb : Σισιννίου (Nov. 23[3]). — 1. — **Cc** : Κικιλίας. — Σισιννίου. — 6 : τῶν ἁγίων μαρτύρων Εὐγενίου,
Χριστοφόρου. — 7 : καὶ τοῦ ἁγίου Μακαρίου. — 1. — In margine superiore, fol. 68 : Ζήτει τὸ συναξά-
50 ριον τοῦ ἁγίου Ἀμφιλοχίου ὀκτοβρίῳ ιθ'. — **M** : 1. — Μάλχος ἐν εἰρήνῃ τ. — Καρίων ἐν εἰρήνῃ τ. —
7 (Ἑρμογένης solus). — 6 (Φιλούμενος, Χριστοφόρος ... Ὁ ἅγιος Εὐγένιος ἐν ὀπῇ τοίχου βληθεὶς τῆς
εἰσόδου πηλῷ ἀναφραγείσης τ.) — 8. 3. 4. 5. — Τοῦ ὁσίου Μάρκου τοῦ Τριγλινοῦ. — Τοῦ ἁγίου μάρ-
τυρος Θεοδώρου τοῦ ἐν Ἀντιοχείᾳ. Οὗτος ἦν ἐν Ἀντιοχείᾳ [7] κρατηθεὶς ἐπὶ τῆς βασιλείας [8] Ἰουλιανοῦ
τοῦ ἀποστάτου, παρὰ Σαλλουστίου [9] τοῦ ἐπάρχου ἁρπαγεὶς ἀπὸ τῆς ἀγορᾶς, διὰ τὸ ἀκοῦσαι τὸν
55 Ἰουλιανόν, καθ' ὃν καιρὸν ἡ μετάθεσις τῶν ἐν τῇ Δάφνῃ ἀποκειμένων λειψάνων τῶν ἁγίων μαρτύρων
Βαβύλα τε καὶ τῶν σὺν αὐτῷ κατὰ πρόσταξιν τοῦ ἀσεβοῦς Ἰουλιανοῦ ἐγεγόνει, ᾀδομένων δαϊτικῶν
ὕμνων παρὰ τῶν ἐκφορούντων χριστιανῶν τὰ τίμια λείψανα, ἐπιφθεγγομένων καθ' ἕνα στίχον τό·
« Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς » · ὧν εἷς ἦν καὶ ὁ μάρτυς Θεόδωρος. Ὃς Ps. 96, 7.
καὶ ἐπὶ ξύλου κρεμασθείς, βουνεύροις τὰ νῶτα κατεξάνθη, καὶ ὄνυξι τὰς πλευρὰς διωρύχθη, καὶ σιδη-

60 — [2] ὑπερδοξάσαντα Db. — [3] θυμώμητος Fa. — [4] Βιργηλίου Fa. — [5] Γαλινοῦ Fa. — [6] Συβίλης Fa. — [7] (ἦν ἐν Ἀντιοχείᾳ) ὁ ἅγιος Mv. — [8] τῆς βασιλείας *om.* Mv. — [9] Σαλλουστίνου Mv.

Nov. 24. **5.** Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Χρυσογόνου.

6. Καὶ τῶν ἁγίων μαρτύρων Εὐγενίου, Χριστοφόρου καὶ Φιλουμένου.

7. Καὶ τῶν ἁγίων[1] Μακαρίου καὶ Ἑρμογένους ἐπισκόπων[2] Ἀκραγαντίνων.

8. Καὶ μνήμη τῶν ἁγίων μαρτύρων Προκοπίου καὶ Χριστοφόρου[1] πλησίον τῆς Χελώνης[2].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ'.

Nov. 25. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος πάπα Ῥώμης, μαθητοῦ χρηματίσαντος Πέτρου τοῦ ἀποστόλου. Οὗτος ὑπῆρχε Ῥωμαῖος τὸ γένος, ἐκ βασιλικοῦ καταγόμενος γένους, Φαύστου καὶ Ματθιδίας υἱός, πᾶσαν παιδείαν τῆς Ἑλληνικῆς γνώσεως μετελθών. Τῷ κορυφαίῳ δέ ποτε τῶν ἀποστόλων Πέτρῳ περιτυχών, τὴν κατὰ Χριστὸν ἀλήθειαν ἐκπαιδεύεται καὶ κῆρυξ τοῦ εὐαγγελίου καθίσταται καὶ τῶν ἀποστολικῶν διατάξεων γίνεται συγγραφεὺς καὶ ποιμὴν ἀναδείκνυται τῆς ἐν Ῥώμῃ τῶν πιστῶν ἐκκλησίας. Ὑπὸ δὲ Τραϊανοῦ βασιλέως διὰ τὸ τὸν Χριστὸν ὁμολογεῖν[1] καὶ κηρύττειν συσχεθεὶς καὶ μὴ πεισθεὶς τοῖς προστάγμασιν αὐτοῦ, ἐν ἐρήμῳ πόλει παρακειμένῃ τῇ Χερσῶνι ἐξορίζεται. Ἐκεῖθεν δὲ πάλιν δεθεὶς πρὸς τὸν αὐχένα αὐτοῦ[2] σιδηρᾶν ἄγκυραν ῥίπτεται ἐν τῷ βυθῷ[3] καὶ ἔκτοτε ὑποχωροῦντος τοῦ βυθοῦ μίλια τρία καὶ ὑποδεχομένου τοὺς ἐκεῖσε φοιτῶντας λαούς, ἐπὶ ἡμέρας ἑπτὰ εὐφροσύνη μεγάλη τοῖς ἡλικόσιν ἐπὶ Κύριον γίνεται.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος καὶ ἀρχιεπισκόπου Πέτρου Ἀλεξανδρείας[1]. Οὗτος ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ βασιλέως διδάσκαλος τοῖς πιστοῖς εὐσεβῆς[2] καὶ τῶν<θείων[3]> δογμάτων ὑφηγητής. Ὃς ἐν τῷ μέλλειν τὴν κεφαλὴν τέμνεσθαι, διὰ τὸ προστάξαι τοῦτο τὸν βασιλέα,

7. — [1] πατέρων ἡμῶν *add.* Sa. — [2] πόλεως *add.* Sa.
8. — [1] Χρηστοφόρου S. — [2] ταῖς αὐτῶν πρεσβείαις ὁ Θεός *add.* Sa.
1. — [1] παρρησία *add.* Sa. — [2] *supra lin.* Sa. — [3] τῆς θαλάσσης *add.* Sa.
2. — [1] Ἀλεξανδρείας Πέτρου Sa. — [2] εὐσεβείας Sa. — [3] *add.* Sa, *om.* S.

Nov. 24. ροῖς δεσμοῖς ἐναποληφθείς, τῇ εἱρκτῇ παρεδόθη. Τῇ ἕωθεν δὲ ἀναδιδαχθεὶς ὁ Ἰουλιανὸς[10] διὰ[11] τοῦ ἐπάρχου τὴν τοῦ νέου καρτερίαν καὶ ὅτι τῶν πασχόντων[12] διὰ[13] Χριστὸν τὸ ἀνένδοτον[14] μέχρι τέλους εἰς ἥτταν μὲν τῶν διωκτῶν λογίζεσθαι, εἰς εὔκλειαν δὲ καὶ χαρὰν τοῖς διωκομένοις, πεισθεὶς ὁ θεομισὴς ἐκέλευσε τὸν Θεόδωρον[15] τῆς εἱρκτῆς ἀφεθῆναι. Οὗτος ὁ γενναῖος τῆς ἀληθείας[16] ἀγωνιστής, ἐρομένων τινῶν, εἴπερ ᾔσθετο ὀδύνης[17] τὰς πικρὰς ἐκείνας ὑπομείνας βασάνους, τὴν μὲν ἀρχὴν ἔφη ὀλίγης ὀδύνης αἰσθέσθαι· εἶτα ἐπιφανῆναι αὐτῷ τινα, ὀθόνην <φέροντα[18]> ἁπαλήν τε καὶ ψυχράν, τοῦ προσώπου συνεχῶς[14] ἐκματτόμενον τὸν ἱδρῶτα καὶ παρεγγυώμενον θαρρεῖν. Διάτοι τοῦτο καί, τῶν δημίων παυσαμένων, οὐχ ἡσθῆναι, ἀλλ' ἀνιαθῆναι[19] ἔφη· συναποστῆναι γὰρ ἔλεγε καὶ τὸν τὴν ψυχαγωγίαν αὐτῷ ἐμποιοῦντα. Τοιαῦτα δεδρακὼς ὁ παράνομος Ἰουλιανὸς αὐτὸς μὲν πικρῷ καὶ ἐπονειδίστῳ θανάτῳ τὸν βίον ὑπεξῆλθεν ἐν τῇ χώρᾳ τῶν Περσῶν, ὁ δὲ ἅγιος Θεόδωρος εἰς αἰῶνας[20] ἐν Κυρίῳ ἀγάλλεται[21]. — **Mv** : Κλήμεντος (Nov. 25[1]). — Πέτρου (Nov. 25[2]). — Μάλχος. — Καρίων. — 7 (Ἑρμογένης). — 6. 8. 3. 4. — Θεοδώρου. — **Mr** : Κλήμεντος. — Πέτρου.

Nov. 25. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1 et 2 (τὴν δὲ τούτων μνήμην ἡ μεγάλη ἐκκλησία τελεῖται ἐν ἡμέρᾳ κυριακῇ). — Μερκουρίου (Nov. 26[2]). — Αἰκατερίνης (Nov. 24[2]). — **P** : 1 : Κλήμεντος ἐπισκόπου Ῥώμης τοῦ μεγάλου. Οὗτος ἦν μαθητὴς καὶ διάδοχος τῶν ἀποστόλων. — 2 : Τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου Ἀλεξανδρείας, ἐπὶ Μαξιμιανοῦ βασιλέως· περὶ οὗ μαθὼν ὁ βασιλεὺς ἀπέστειλε πέντε τριβούνους εἰς τὸ λαβεῖν τὴν κεφαλὴν αὐτοῦ. — Μερκουρίου. Οὗτος ἦν ἐπὶ Δεκίου καὶ Οὐαλεριανοῦ τῶν βασιλέων ὁρμώμενος ἐκ γῆς ἀνατολῶν καὶ στρατευόμενος ἐν τῷ ἀριθμῷ τῶν Μαρτισίων. Ἦν δὲ ἐτῶν κε', εὐῆλιξ, ὡραῖος, τῷ εἴδει ῥοδινός, τῇ ὁράσει ξανθόκομος, διεβλήθη τῷ Δεκίῳ. — Αἰκατερίνης (= Fa, Nov. 24[2]). — **Da** : 1. 2. — Μερκουρίου. — **Db** : 1. 2. — **F** : 1. 2. — Μερκουρίου (Nov. 26[2]). — **Fa** : 1. 2. — Μερκουρίου. — **B** : 1. — Μερκουρίου. — Αἰκατερίνης. — **Ba** : 1. des. : Καί ποτε τῆς θαλάσσης ὑποχωρησάσης καὶ τοῦ λαοῦ εἰσεληλυθότος καὶ τὴν θείαν δοξολογίαν ἐπιτετελεκότος κατὰ τὸ σύνηθες καὶ αὖθις ἐξεληλυθότος, ἔτυχε παῖδα ἐκεῖσε καταλειφθῆναι σμικρότατον κατὰ λήθην τῶν γονέων αὐτοῦ καὶ καλυφθῆναι ὑπὸ τῶν κυμάτων. Εἰς τὸν μετέπειτα δὲ ἑνιαυτὸν πάλιν τοῦ κύματος ἀνακεχωρηκότος, προσελθόντες εὗρον τὸ παιδίον ὑγιὲς τῇ τοῦ ἁγίου λάρνακι παρακαθεζόμενον· ὅπερ διερωτῶντες ἔμαθον, παρὰ τοῦ κειμένου ἐκεῖσε ἁγίου διατρέφεσθαί τε καὶ ἐκ τῆς τῶν ἐναλίων βλάβης διαφυλάττεσθαι. Καὶ τοῦτο ἀναλαβόμενοι καὶ τῷ ἁγίῳ τὰ εἰκότα εὐχαριστήσαντες οἴκαδε ἀνεχώρησαν. — 2. — Μερκουρίου. — **T** : 1. — Αἰκατερίνης. — **L** : 1. 2. — Μερκουρίου. — Αἰκατερίνης. — Τῇ αὐτῇ ἡμέρᾳ τὴν γέννησιν ἑορτάζομεν τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Κλήμεντος ἐπισκόπου Βουλγαρίας τοῦ ἐν τῇ Ἀχρίδι. Ζήτει ἀκολουθίαν αὐτοῦ κατὰ τὴν ἑβδόμην καὶ εἰκοστὴν τοῦ ἰουλίου μηνός· ἐκεῖσε γὰρ ἑορτάζομεν τὴν κοίμησιν αὐτοῦ. — **O** : Μερκουρίου. — **Q** : 1. 2. — Μερκουρίου. — **C** : deest. — **Ca** : deest. — **Cb** : 1. 2. — Μερκουρίου. — Αἰκατερίνης. — **Cc** : 1. 2. — Μερκουρίου. — Αἰκατερίνης. — **M** : Αἰκατερίνας. — Οἱ ἅγιοι πεντήκοντα ῥήτορες π. τ. — Βασίλισσα τοῦ βασιλέως Μαξεντίου γαμετὴ π. τ. — Πορφύριος στρατηλάτης σὺν τοῖς διακοσίοις στρατιώ-

— [10] ὁ Ἰουλιανὸς ἀναδιδαχθεὶς Mv. — [11] παρὰ Mv. — [12] χριστιανῶν *add.* Mv. — [13] τὸν *add.* Mv. — [14] *om.* Mv. — [15] ἅγιον Mv. — [16] τοῦ κυρίου Mv. — [17] ἀλγηδόνος Mv. — [18] *om.* M, Mv. — [19] ἀναρωσθῆναι Mv. — [20] εἰς αἰῶνας *om.* Mv. — [21] ἀναπαυσάμενος *add.* Mv.

μαθόντα τὰ κατ' αὐτὸν προσκειμένου τοῦ Ἀρείου καὶ συγχώρησιν ἐξαιτοῦντος καὶ τοῦ λαοῦ παντὸς
f. 90v. δυσωποῦντος, οὐκ ἔνειμεν αὐτῷ συγγνώμην | ἀλλ' ἀπεπέμψατο ἐπαρασάμενος αὐτὸν[4] εἶναι κεχωρισμένον καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι τῆς δόξης τοῦ Χριστοῦ. Ἔφη γὰρ τὸν Κύριον ὄναρ ἰδεῖν ἐν σχήματι παιδίου[5] νεογενοῦς ὑπὲρ τὸν ἥλιον ἀστράπτοντα, περικείμενον χιτῶνα διερρηγμένον ἀπὸ κεφαλῆς ἄχρι ποδῶν· παρ' οὗ μαθεῖν, ὅτι Ἄρειος ὁ διαρρήξας αὐτόν, ἐν συμβόλῳ δηλοῦντος τὴν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα διαίρεσιν εἶναι τὰ τῆς ἀσεβείας τοῦ Ἀρείου καὶ βλασφημίας δόγματα. Οὗτος οὖν ὁ ἐν ἁγίοις[6] ἐτελειώθη, κατὰ τὴν τοῦ βασιλέως κέλευσιν τὴν[7] κάραν ἀποτμηθεὶς καὶ τὸ πνεῦμα τῷ Θεῷ παραθέμενος. Nov. 25.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀλυπίου τοῦ κιονίτου. Οὗτος ἦν ἐπὶ Ἡρακλείου τοῦ βασιλέως ἐξ Ἀδριανουπόλεως τῆς[1] Παφλαγόνων χώρας· καὶ πρὸ τῶν ὠδίνων διὰ δή[2] τινων δεξιῶν συμβόλων ὃ ἔμελλεν ἔσεσθαι προγνωσθεὶς καὶ μετὰ τὴν γέννησιν τοὺς τότε καὶ νῦν θεάματι καὶ ἀκοῇ καταπλήξας τῇ καρτερίᾳ· καὶ γὰρ ἔδοξεν ἡ μήτηρ τοῦτον ἐγκυμονοῦσα ἀμνὸν ὡραῖον ἐν τοῖς κέρασιν ἀνημμένας ἔχοντα λαμπάδας προσφέρεσθαι, ὅπερ ἦν σύμβολον[3] τῆς ὕστερον[4] λαμπρότητος καὶ ἀρετῆς τοῦ ἀνδρός. Τοσοῦτον γὰρ διὰ παντοίας ἀσκήσεως ἠγωνίσατο, ὡς καὶ θαύματα κατεργάσασθαι καὶ τῇ καρτερίᾳ πάντας ὑπερβαλέσθαι[5]. Ἐπὶ γὰρ κίονος αἴθριος ἔστη ἐπὶ χρόνοις τρισὶ καὶ πεντήκοντα ὥσπερ τις χαλκὸς ἢ λίθος ἀδάμας πρὸς τὰς ἐναντίας μεταβολὰς τῶν ὡρῶν μὴ καμπτόμενος· τῆς δὲ φυσικῆς ἰσχύος τῷ χρόνῳ καμούσης καὶ τοῦ τόνου παραλυθέντος καὶ τῆς ὑπερειστικῆς θραυσθείσης δυνάμεως, ἐπεὶ καὶ τραύμασιν αὐτὸν ὁ πονηρὸς κατὰ τὸν Ἰὼβ ἔτρωσεν, ἐν αὐτῷ τῷ κίονι ἐφ' ἑνὸς κατακλιθεὶς πλευροῦ ἔμεινεν ἔτη ιγ', μὴ μετακλιθεὶς πρὸς θάτερον μέρος, ἕως οὗ τὴν τιμίαν[6] αὐτοῦ ψυχὴν παρέθετο τῷ Θεῷ. Ὁ δὲ ἅπας[7] τῆς ζωῆς αὐτοῦ χρόνος ἔτη ἑκατὸν εἴκοσι[8]. Nov. 26.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μερκουρίου. Οὗτος ἦν ἐπὶ Δεκίου καὶ Βαλλεριανοῦ τῶν βασιλέων, ἐκ[1] γῆς ἀνατολῶν[2] κατειλεγμένος τῇ στρατείᾳ τῶν Μαρτησίων, υἱὸς Γορδιανοῦ τινος Σκύθου. Ἀριστεύσας δέ ποτε κατὰ τῶν βαρβάρων, προοφθέντος αὐτῷ ἀγγέλου καὶ θάρσος ἐνθέντος, εἰς τὴν τοῦ στρατηλάτου παρὰ τοῦ βασιλέως τάξιν προήχθη· διὰ δὲ τὴν | εἰς Χριστὸν ὁμο-
f. 91. λογίαν παραστὰς τῷ Δεκίῳ, χριστιανὸν ἑαυτὸν ἀνεκήρυξεν· ὅθεν ταθεὶς ἐπὶ τέτρασι[3] πάλοις, μαχαίραις τὸ σῶμα κατατέμνεται, κάτωθεν αὐτῷ[4]

— [4] καὶ εἰπὼν *add.* Sa. — [5] παιδὸς Sa. — [6] ὁ ἅγιος Sa. — [7] τιμίαν αὐτοῦ *add.* Sa.
1. — [1] τῶν *add.* Sa. — [2] *om.* Sa. — [3] σύμβολον ἦν Sa. — [4] ἐσύστερον Sa. — [5] ὑπερβάλλεσθαι Sa. — [6] μακαρίαν Sa. — [7] πᾶς Sa. — [8] *ita* S, ρη' Sa, Cd, τελεῖται δὲ κτλ. *add.* Sa *inter* Synaxaria selecta.
2. — [1] τῶν *add.* Sa. — [2] τῆς ἀνατολῆς μερῶν ὁρμώμενος Sa. — [3] τέτταρσι Sa. — [4] αὐτοῦ Sa.

ταις ξ. τ. — 1. 2. — Πέτρου τοῦ ἡσυχαστοῦ. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Πέτρος ἐν τῷ Πόντῳ γεννηθεὶς παρὰ εὐσεβῶν γονέων, ἐπταετίαν πληρώσας σὺν αὐτοῖς, τὸ λοιπὸν τῆς ζωῆς αὐτοῦ ἐν φιλοσοφίᾳ κατεδαπάνησεν. Ἐν Γαλατίᾳ μὲν[1] πρῶτον ἤθλησεν· εἶθ' οὕτως ἱστορίας ἕνεκα τὴν Παλαιστίνην κατέλαβεν· ἐκεῖθεν[2] πανταχοῦ προσευξάμενος εἰς Ἀντιόχειαν κατήχθη[3] καὶ καθείρξας ἑαυτὸν ἐν κελλίῳ τινί[4], προσεῖχεν ἑαυτῷ ἀεὶ τῷ Θεῷ[5] διαλεγόμενος, μηδὲν ἄλλο ἐσθίων πλὴν ἄρτου σταθμοῦ τινος ὀλίγου διὰ δύο ἡμερῶν[6] καὶ ὀλιγοστοῦ ὕδατος. Οὗτος κατὰ δαιμόνων ἔλαβεν ἐξουσίαν· καὶ γάρ τινα Δανιὴλ τοὔνομα[7] τοῦ δαίμονος ἐλευθερώσας, τοῦτον[8] κατηχήσας ὁμόζηλον καὶ ἀσκητὴν[9] πεποίηκε. Καὶ ὀφθαλμοὺς πεπηρωμένους ὑγίωσε καὶ νοσήματα διάφορα ἐθεράπευσε καὶ πολλὰ τὰ τούτου κατορθώματα ᾄδονται[10], τὰ μὲν ὡς γραφέντα, τὰ δὲ καὶ ἐξ ἀκοῆς ᾀδόμενα[11]. Οὗτος μέγας καὶ ὑψηλὸς γενόμενος ἐν πάσῃ[10] τῇ Ἀντιοχέων πόλει καὶ τῇ ταύτης περιχώρῳ, καὶ ἐνενήκοντα ἐννέα χρόνους διαρκέσας ἐν τῷ θνητῷ σαρκίῳ τούτῳ, ἀπῆλθε πρὸς τὰς αἰωνίους μονάς[12]. — Οἱ ἑξακόσιοι ἑβδομήκοντα μάρτυρες ξ. τ. — **Mv** : Αἰκατερίνας. — Οἱ ἅγιοι ἑκατὸν πεντήκοντα ῥήτορες οἱ διὰ τῆς ἁγίας Αἰκατερίνας καταβληθέντες καὶ πιστεύσαντες π. τ. — Βασίλισσα. — Πορφύριος. — Μερκουρίου. — Πέτρου. — Οἱ ἅγιοι ἑξακόσιοι ἑβδομήκοντα. — **Mr** : 1. 2. Nov. 25.

SYNAXARIA SELECTA. **Sa** : 2. 1. add. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ αὐτοῦ τῇ οὔσῃ πλησίον τοῦ Ἱπποδρομίου. — 3. 4. 5. — **H** : Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἐξ Ἀραβίας καὶ τῶν σὺν αὐτοῖς Ἀνθίμου, Λεοντίου καὶ Εὐπρεπίου (Oct. 17[2]). — Ἀκακίου (Nov. 27[3]). — 4. 5. — **P** : Κοσμᾶ καὶ Δαμιανοῦ κτλ. — 1. — Τοῦ ὁσίου Ἀκακίου τῆς ὑπακοῆς, τοῦ ἐμφερομένου ἐν τῇ κλίμακι (Nov. 27[3]). — 4. — **Da** : 1. 3. — **Db** : 2. 1. 3. — **F** : 1. — Ἀκακίου. — **Fa** : 1. — Ἀκακίου. — **B** : 1. — **Ba** : 1 (= S). 3 (= S). — **Bb** : mutil. 3. — **T** : 1. 2. — **L** : 1. — Κοσμᾶ καὶ Δαμιανοῦ κτλ. — **O** : 1. 3. — **Q** : 1. 3. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Χαιρέμονος[1] τοῦ ἐρημίτου. Οὗτος ὁ ἀοίδιμος ἐξ αὐτῆς νηδύος ἁγιωσύνης περικείμενος σωφροσύνην τε ἀσπασάμενος, ἁγνείαν εἰσοικισάμενος, τὴν ἔρημον καταλαβὼν ἀκμάζων ἔτι τῷ σώματι καὶ πάσης ἀνθρώπων ἐπιμιξίας ἀπερρωγὼς καὶ τὴν ἔρημον ὡς πόλιν οἰκήσας, θηρίοις συνδιαιτώμενος, ἀτροφίαν ἀσκήσας καὶ ἴσα πτηνοῖς τὸ τῆς τροφῆς κεκτημένος αὐτόματον, ὅλον Nov. 26.

[1] γὰρ *add.* Mv. — [2] τε *add.* Mv. — [3] κατήχθη εἰς Ἀντιοχείαν Mv. — [4] καὶ κελλίῳ τινι καθείρξας ἑαυτὸν Mv. — [5] τῷ Θεῷ ἀεὶ Mv. — [6] δι' ἡμερῶν δύο Mv. — [7] τοὔνομα Δανιὴλ Mv. — [8] τε *add.* Mv. — [9] συνασκητὴν Mv. — [10] *om.* Mv. — [11] ᾄδονται Mv. — [12] (ἀπῆλθε - μονάς) πρὸς Κύριον ἐξεδήμησεν Mv.
[1] *littera evanida nec lectio admodum certa.*

Nov. 26. ὑποκαιομένου πυρὸς καὶ ἀποσβεννυμένου τοῖς ὀχετοῖς τῶν αἱμάτων. Εἶτα αἰκίζεται καὶ κατὰ κεφαλῆς κρεμᾶται, λίθου βαρέος ἐξαφθέντος αὐτοῦ· καὶ μετὰ τοῦτο φραγελλοῦται τετραφραγέλλῳ χαλκῷ καὶ ἐν Καισαρείᾳ τῆς Καππαδοκίας ἀχθεὶς τὴν κεφαλὴν ἀποτέμνεται. Ἦν δὲ ὅτε τοὺς ἀγῶνας διήθλησεν ἐτῶν κε', μέγεθος ἔχων σώματος, τὴν ὄψιν διαπρεπής, τὴν κόμην ξανθός, συνεπιπρέποντος αὐτῷ τοῦ κατὰ τὰς παρειὰς ἐρυθήματος.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Στυλιανοῦ τοῦ Παφλαγόνος. Οὗτος ἐκ μήτρας ἁγιασθεὶς καὶ τῷ Θεῷ καθιερωθείς, γέγονε τοῦ ἁγίου Πνεύματος οἰκητήριον. Τὸν γὰρ προσόντα αὐτῷ πλοῦτον σκορπίσας τοῖς πένησιν καὶ τὸν μοναστὴν ὑποδὺς βίον καὶ τοῖς τῶν ἀσκητῶν χοροῖς συναριθμηθείς, πάντας ὑπερέβαλλεν [1] ἀσκήσει [2] ἐπιπόνῳ καὶ σκληραγωγίᾳ· εἶθ' οὕτως τὴν ἔρημον κατέλαβε καὶ σπήλαιον ὑποδὺς ὑπὸ θείου ἀγγέλου τροφὴν ἐδέξατο καὶ τὰ σκιρτήματα τῆς σαρκὸς καταμαράνας τῶν ἰαμάτων τὴν χάριν παρὰ Χριστοῦ ἐδέξατο, ποικίλων καὶ ἀνιάτων παθῶν ἰατρὸς γενόμενος μέγιστος [3], στειρευούσας καὶ ἀτεκνούσας γυναῖκας εὐτεκνούσας ἀποδεικνύων. Ἡνίκα γὰρ ὁ φθοροποιὸς θάνατος τὰ βρέφη πολλάκις διαλυμαίνεται καὶ ἀτεκνούσας τὰς κυούσας ἀποτελεῖ, τὸ τοῦ ἁγίου ὄνομα αἱ μητέρες ἐπικαλούμεναι καὶ τὸ τίμιον αὐτοῦ χρωματουργοῦνται καὶ θεῖον εἰκόνισμα, πρὸς τεκνογονίαν αὖθις ταῖς αὐτοῦ πρεσβείαις μετασκευάζονται [4]· καὶ εὐτεκνοῦσαι αἱ πρὶν ἀπαιδίᾳ τρυχόμεναι ἀποδείκνυνται [5]. Τὸ δὲ τίμιον αὐτοῦ λείψανον ἐν τῇ τῶν Παφλαγόνων χώρᾳ, ἐξ ἧς καὶ αὐτὸς ὁρμᾶται [6], κατάκειται, ἰάσεις πολλὰς καὶ θαυματουργίας ἀποτελοῦν.

4. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου ἀποστόλου Σίλα ἐπισκόπου Κορίνθου, μαθητοῦ τοῦ ἁγίου Παύλου τοῦ ἀποστόλου [1].

5. Καὶ τὰ ἐγκαίνια [1] τοῦ ἁγίου Γεωργίου ἐν τῷ Κυπαρισσίῳ [2].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ'.

Nov. 27. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰακώβου τοῦ Πέρσου. Ὁ ἅγιος μάρτυς Ἰάκωβος χριστιανὸς ὤν, διὰ τὸ τῶν Περσῶν βασιλέα Ἰσδιγέρδην [1] περὶ πολ-
f. 91v. λοῦ τὴν αὐτοῦ ποιήσασθαι φιλίαν | ἀπέστη τῆς τῶν χριστιανῶν πίστεως. Ἐπεὶ δὲ ἡ μήτηρ αὐτοῦ καὶ ἡ γαμετὴ διὰ γραφῶν [2] αὐτῶν αὖθις πρὸς [3] τὴν εἰς Χριστὸν πίστιν τοῦτον ἀνεκαλέσαντο, δι' αὐτό γε τοῦτο καθίσταται τῷ βασιλεῖ εἰς ἐξέτασιν· καὶ δὴ τοῦ βασιλέως χαλεπήναντος, τὸν πικρότατον ὑπέστη θάνατον, κατὰ μίαν ἑκάστην τοῦ σώματος ἁρμονίαν τμηθεὶς τῶν τε χειρῶν καὶ ποδῶν καὶ βραχιόνων, ὡς περιλειφθῆναι μόνην αὐτῷ [4] μετὰ τῆς κοιλίας τὴν κεφαλήν. Εἶθ' οὕτως καὶ ταύτην ἀφῃρέθη. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ <αὐτοῦ [5],> τῷ ὄντι ἐν τοῖς Δαλμάτου καὶ ἐν τοῖς Ῥουστικίου [6].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Παραμόνου καὶ τῶν σὺν αὐτῷ τ'. Οὗτοι ὑπῆρχον ἐπὶ Δεκίου βασιλέως καὶ Ἀκυλίνου ἄρχοντος τῆς ἑῴας. Τοῦ οὖν Ἀκυλίνου εἰς τὰ ἐν τῇ Βισαλτίᾳ [1] ἀναδιδόμενα θερμὰ ὕδατα ἀπιόντος θεραπείας σωματικῆς ἕνεκεν, εἵπποντο οἱ συνειλεγμένοι ἀθληταί, οὕτω κελεύσαντος. Γενομένου δὲ εἰς τὸ τῆς Ἴσιδος τέμενος καὶ τὰς μυσαρὰς θυσίας τελοῦν-

3. — [1] ὑπερέβαλεν Sa. — [2] καὶ *add.* Sa. — [3] γενόμενος μέγιστος ἰατρὸς Sa. — [4] μετεσχευάζοντο Sa. — [5] ἀποδείκνυντο Sa. — [6] ὡρμᾶτο Sa.
4. — [1] τοῦ ἁγίου ἀποστόλου Παύλου Sa.
5. — [1] τοῦ ναοῦ *add.* Sa. — [2] ταῖς αὐτῶν πρεσβείαις ὁ Θεὸς ἐλέησον *add.* Sa.
1. — [1] Εἰσδιγέρδην S. — [2] γραφῆς Sa. — [3] εἰς Sa. — [4] αὐτοῦ Sa. — [5] Sa, *om.* S. — [6] ταῖς αὐτῶν πρεσβείαις ὁ Θεὸς ἐλέησον *add.* Sa.
2. — [1] Sa, Βιλσατία S.

Nov. 26. ἄτροφον, ὅλον ἄσκευον, ὅλον ἄσαρκον, ὅλον ἄϋλον καθορώμενον, μελέτην διηνεκῆ τὸν τοῦ Θεοῦ νόμον ποιούμενος ἡλίῳ τε καὶ καύσωνι τὸ ἑαυτοῦ σῶμα ἀποτηγανίσας, ψύχει τε πάλιν καὶ παγετῷ ἑαυτὸν ἐκτήξας, σκιᾷ παρεοικώς [2] τοῖς ὁρῶσιν ἐμφανισθείς, καὶ πνεῦμα τοῦτον νομίσαντες εἶναι οἱ θεαταὶ διὰ τὸ πήχεις ἑπτὰ ἀπὸ τῆς γῆς ἐν τῷ ἀέρι κρεμάμενον φαίνεσθαι ἐν τῷ εὔχεσθαι· καὶ πῦρ πάλιν [φαίνε]ται [3] ἐν τῷ τοὺς ἀγγέλους πρὸς αὐτὸν ἐπιστῆναι καὶ πρὸς μετάστασιν προσκαλουμένους [4]· ὅτε καὶ τὴν ἁγίαν αὐτοῦ ψυχὴν ταῖς χερσὶ τῶν ἀγγέλων παρέθετο, τὸ σῶμα καταλείψας ἐπὶ τῆς γῆς. — **C**: deest. — **Ca**: deest. — **Cb**: hoc in codice posita est dies 26 inter 27 et 28. — Εἰρηνάρχου (Nov. 28[3]). — **Cc**: 3. — Ἀκακίου. — 1. 4. — **M**: 1. 2. 3. — Ἀκακίου. — Ἰακώβου τοῦ ἀναχωρητοῦ (Febr. 21[9]). — **Mv**: 1. 3. — Ἀκακίου. — Ἰακώβου. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Νίκωνος τοῦ μετανοεῖτε. — **4**: Σίλου ἐπισκόπου Κορίνθου τῆς Περσίδος. — 5. — **Mr**: 1. — Νίκωνος.

Nov. 27. SYNAXARIA SELECTA. **Sa**: 1. — **H**: 1. — **P**: 1: Ἰακώβου τοῦ Πέρσου ἐν τοῖς χρόνοις Ὀνωρίου καὶ Θεοδοσίου, βασιλέων Ῥωμαίων· ἦν οἰκῶν ἐν Βηθλαβᾶ τῇ πόλει ἐν χώρᾳ τῶν Περσῶν. — **Da**: 1. 3. — **Db**: 1. 3. — **F**: 1. — Στυλιανοῦ (Nov. 26[3]). — **Fa**: 1. — Στυλιανοῦ. — **B**: 1. — **Ba**: 1 (= S). 3 (= S). — **Bb**: 1. 3. — Βισσαρίωνος (Nov. 29[2]). — **T**: 1. — **L**: 1. — **O**: 1. 3. — **Q**: 1. 3. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Μωϋσέως [1]. Οὗτος ὁ ἀοίδιμος ὥρμητο μὲν ἀπὸ τῆς Φάραν· ἐκ μικρᾶς δὲ ἡλικίας μονάσας διήρκεσεν ἐν τῷ μονήρει βίῳ ἔτη ὀγδοήκοντα καὶ πέντε, μένων ἔν τινι σπηλαίῳ ἐν τῷ ὄρει οὗ μακρὰν τοῦ συνακτηρίου, δεύτερος ὡς ἀληθῶς Ἠλίας· πάντα γὰρ ὅσα ἠτήσατο τὸν Κύριον ἐχορήγει αὐτῷ· καὶ πλείστας ἰάσεις ἐπετέλει δι' αὐτοῦ ὁ Θεός, δωρησάμενος αὐτῷ κατὰ [2] πνευμάτων

— [2] παρεοικτ| Q. — [3] *supplevi.* — [4] προσκαλουμένας Q.
[1] *littera evanida nec lectio admodum certa.* — [2] μετὰ Q.

τος [2] καὶ τοὺς ἁγίους θύειν καὶ προσκυνεῖν τοῖς εἰδώλοις προστάττοντος [3] κἀκείνους ἀπαναινομένους τοῦτο ποιῆσαι, ὁ ἅγιος Παράμονος θεασάμενος, φωνῇ μεγάλῃ ἐβόησε· « Μεγίστην ἀσέβειαν » ὁρῶ, φησίν, ὅτι ὁ μιαρὸς οὗτος τοσούτους » δικαίους καὶ ταῦτα ξένους ἀλόγων κατασφάττει » τρόπον. » Ὁ δὲ ἀκούσας καὶ ὑπὸ μανίας ἀναφλεγεὶς εὐθέως τοῦτον ἀναιρεῖσθαι προστάττει. Ὅπερ οὐκ εἰδὼς ὁ μακάριος, ἐν αὐτῷ τῷ τόπῳ βαδίζων διετέλει. Κατασχόντες δὲ [4] αὐτὸν οἱ ἀπεσταλμένοι καὶ οἱ μὲν λόγχαις βάλλοντες, οἱ δὲ καλάμους ὀξεῖς διά τε τῆς γλώττης καὶ τῶν λοιπῶν μελῶν τοῦ ἁγίου διελαύνοντες, ἐπ' ὄψεσι τοῦ δικάζοντος ἐν τῷ εἰρημένῳ τόπῳ ἐτελείωσαν καὶ πρὸς τὰς οὐρανίους σκηνὰς διεβίβασαν. Κατετέθη [5] δὲ τὸ τίμιον αὐτοῦ λείψανον ἐν αὐτῷ τῷ χωρίῳ [6] παρὰ τὰς θήκας τῶν τριακοσίων ἑβδομήκοντα.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀκακίου τοῦ ἐν τῇ Κλίμακι μνημονευομένου. Οὗτος ὑπῆρχεν ἔν τινι τῆς Ἀσίας μονῇ [1]· νέαν δὲ ἔτι [2] τὴν ἡλικίαν ἄγων τὸν ἀσκητικὸν βίον μετήρχετο. Εἶχε δὲ ἐπιστατοῦντα αὐτῷ γέροντα ῥᾴθυμον καὶ ἠμελημένον καὶ οὐ μόνον ὕβρεσι καὶ ἀτιμίαις αὐτὸν | διηνεκῶς καθυπέβαλλεν, ἀλλὰ καὶ πληγαῖς ἐβασάνιζε· ποτὲ μὲν γὰρ τὸν ὀφθαλμὸν εἶχε μεμελανωμένον, ποτὲ δὲ τὸν τράχηλον, ποτὲ δὲ τὴν κεφαλὴν πεπληγμένην. Ποιήσας δὲ μετ' ἐκείνου τοῦ γέροντος χρόνους ἐννέα καὶ θανὼν ἐπορεύθη πρὸς Κύριον. Ταφέντος δὲ αὐτοῦ ἐν τῷ τῶν πατέρων κοιμητηρίῳ, ἀφίκετο ὁ τούτου ἐπιστάτης πρός τινα γέροντα μέγαν καὶ λέγει αὐτῷ· « Πάτερ, ὁ ἀδελφὸς Ἀκάκιος ἀπέθανε. » Ὁ δέ· « Οὔ » φησιν. Καὶ μὴ συνιεὶς ἐκεῖνος τὸ λεχθέν, λέγει πρὸς αὐτόν· « Ἔρχου καὶ ἴδε. » Ἦλθον οὖν ἀμφότεροι εἰς τὸ κοιμητήριον καὶ ὡς πρὸς ζῶντα ὁ τίμιος γέρων ἔφησε [3] πρὸς τὸν τελευτήσαντα· « Ἀδελφὲ » Ἀκάκιε, ἀπέθανες; » Ὁ δὲ εὐθέως ἀνταπεκρίθη· « Πῶς, πάτερ, ἄνθρωπον ὑπακοῆς ἐρτάτην ἀπο- » θανεῖν δυνατόν; » Τότε ὁ πρὶν αὐτοῦ ἐπιστάτης ἔμφοβος γενόμενος ἐπὶ τῷ θαύματι, ἐπὶ πρόσωπον σὺν δάκρυσιν ἔπεσε· καὶ πλησίον τοῦ μνήματος ἐκείνου κελλίον ποιήσας, ἐκεῖσε σωφρόνως τὸ λοιπὸν τοῦ βίου διήνυσε.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ'.

1. Ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου τοῦ νέου. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἀναστασίου, τοῦ καὶ Ἀρτεμίου, πατριαρχοῦντος Γερμανοῦ τοῦ ἐν ἁγίοις, τῆς βασιλίδος τῶν πόλεων γέννημά τε καὶ θρέμμα, υἱὸς Ἰωάννου καὶ Ἄννης τῶν εὐσεβῶν. Ὑποδύεται οὖν τὸν μονήρη βίον καὶ πάσας τὰς σωματικὰς ὁρμὰς χαλινώσας νηστείᾳ καὶ τῇ λοιπῇ σκληραγωγίᾳ, ἐπεὶ ὁ θεσπέσιος Ἰωάννης ὁ τούτου καθηγούμενος ἀνεπαύσατο, αὐτὸς τὴν ἐπιστασίαν ἀναδέχεται ἐν τῷ περιωνύμῳ βουνῷ τοῦ ἁγίου Αὐξεντίου [1] διανύων τὸν ἀσκητικὸν δίαυλον [2]. Κωνσταντῖνος δὲ ὁ Κοπρώνυμος [3] μετὰ τελευτὴν τοῦ πατρὸς Λέοντος [4] τὴν βασιλείαν διαδεξάμενος καὶ τῇ κακίᾳ φιλονεικῶν ἀποκρύψαι καὶ [5] τὸν πατέρα, τὸν κατὰ τῶν ἁγίων καὶ σεβασμίων [6] εἰκόνων ἀναρριπίζει πόλεμον καὶ τοὺς εὐσεβοῦντας μοναχοὺς βασάνοις μυρίαις [7] καὶ ἐξορίαις καθυποβάλλει· μεθ' ὧν καὶ τὸν μακάριον Στέφανον μὴ πειθόμενον αὐτῷ μετὰ πολλὰς [8] αἰκίας τῷ πραιτωρίῳ ἐγκλείει· ἐν ᾧ καὶ ἕτεροι τῶν μοναχῶν λογάδες ἐφρουροῦντο, οἱ καὶ [5] περὶ Πέτρον καὶ Ἀνδρέαν σαράκοντα [9] καὶ ἐκ [10] διαφόρων τόπων ἄλλοι τὸν ἀριθμὸν τριακόσιοι, οἱ μὲν τὰς ῥῖνας, οἱ δὲ τὰ ὦτα καὶ τὰ ὄμματα ἀφῃρη-

— [2] ἐπιτελοῦντος Sa. — [3] προτάσσοντος Sa. — [4] *om.* Sa. — [5] κατέθεντο Sa. — [6] χώρῳ Sa.
3. — [1] μοναστηρίῳ Sa. — [2] *om.* Sa. — [3] ἔφη Sa.
1. — [1] ἐν τῷ ὄρει τῆς Ὀξείας *add.* S *in margine.* — [2] ἐν στενωτάτῳ κελλίῳ *add.* S *supra lin.* — [3] ὁ καὶ Καβαλῖνος *add.* S *supra lin.* — [4] τοῦ Ἰσαύρου *add.* S *supra lin.* μετὰ τὴν τοῦ πατρὸς Λέοντος τελευτὴν Sa. — [5] *om.* Sa. — [6] καὶ σεβασμίων *om.* Sa. — [7] *in margine add.* S: ἐν ἄλλοις οὕτως φησίν· ὁ μὲν ὅσιος Πέτρος ἐν τῷ Ὀλύμπῳ ὄρει τὴν δίαιταν εἶχεν· ὁ δὲ Ἀνδρέας ἐν τῇ βασιλίδι πόλει πλησίον τῶν Βλαχερνῶν ἔν τινι κελλίῳ καθείρκτω. — [8] μυρίας Sa. — [9] τεσσαράκοντα Sa. — [10] ἐν Sa.

ἀκαθάρτων ἐξουσίαν, ὥστε πάντας τοὺς προσερχομένους θεραπεύειν ἀπὸ τῶν πονηρῶν πνευμάτων. Οὗτος ἀφ' οὗ πρὸς τὴν ἡσυχίαν <ἦλθεν, οὐκ ἐγεύσατο> τινῶν ἐδωδίμων πλὴν ὀλίγων φοινίκων, καὶ τούτων διὰ τριῶν ἡμερῶν ἢ καὶ διὰ πέντε, καὶ ποτὸν αὐτῷ τὸ ὕδωρ, τὰ δὲ ἐνδύματα αὐτοῦ ἀπὸ σιβίνου. Ἐκοιμᾶτο δὲ μετὰ τὰς νυκτερινὰς συνάξεις καὶ μόνον, τὰς δὲ λοιπὰς ὥρας ἀγρυπνῶν διετέλει· καὶ ἐν μὲν τῇ ἁγίᾳ τεσσαρακοστῇ οὐκ ἤνοιγε τὴν θύραν τοῦ κελλίου αὐτοῦ ἕως τῆς ἁγίας πέμπτης, μηδὲν ἔχων μεθ' ἑαυτοῦ τροφῆς χάριν εἰ μὴ μόνον τὸν ἀριθμὸν εἴκοσι φοίνικας καὶ ξεστίον ὕδατος· ἅτινα πολλάκις ἐφυλάττοντο, ἕως οὗ ἠνοίγη ἡ θύρα, ὡς ὁ διακονῶν αὐτῷ ἔκφορα ταῦτα μετὰ τὸν αὐτοῦ θάνατον πεποίηκε. Ἐν μιᾷ οὖν τεσσαρακοστῇ προσῆλθεν αὐτῷ τις ὑπὸ πνεύματος ἀκαθάρτου πληγείς. Ἦν δὲ τέχνη τοῦ πονηροῦ τοῦ καταργῆσαι αὐτὸν τῆς προθέσεως αὐτοῦ· ὡς ἤγγισεν ἀπὸ μιλίου ἑνὸς τῷ τοῦ ἁγίου κελλίῳ, ῥῆξαν αὐτὸν τὸ ἀκάθαρτον πνεῦμα ἔκραξε λέγων· « Ὦ βία, οὐδὲ πρὸς ὀλίγην » ὥραν ἴσχυσα ἐμποδίσαι τὸν κακόγηρον ἀπὸ τοῦ κανόνος αὐτοῦ. » Καὶ τοῦτο εἰπὼν ἐξῆλθεν ἀπὸ τοῦ ἀνθρώπου, καὶ ἰάθη παραχρῆμα. Καὶ ὁ ἅγιος οὐδενὶ ἐθεάθη. Οὕτως οὖν ὁ ἀοίδιμος βιώσας καὶ πλείω τούτων διαπραξάμενος ἀξιομνημόνευτα ἔργα, ἐν εἰρήνῃ ἐτελειώθη. — **C**: deest. — **Ca**: deest. — **Cb**: 1. — **Cc**: 1. — **M**: 1. — Ῥωμανοῦ τοῦ θαυματουργοῦ (Febr. 9[3]). — Πινούφιος ἐν εἰρήνῃ τ. — Ναθαναὴλ ἐν εἰρήνῃ τ. — **Mv**: 1. — Ῥωμανοῦ. — Πινούφιος. — Ναθαναήλ. — **Mr**: 1.

SYNAXARIA SELECTA. **Sa**: 1. 3. 4. 5. 6. — **H**: 3 (Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Στεφάνου εἰς τὰ Κώνστα). — 4. 5. 6 (Θεοδοσίου). — **P**: 3. 1: Στεφάνου, Πέτρου καὶ Ἀνδρέου ἐπὶ τῆς βασιλείας Κωνσταντίνου υἱοῦ Λέοντος τοῦ Ἰσαύρου, ἄνδρες διαλάμποντες ἐν τῇ ὀρθοδόξῳ

Nov. 28. f. 92v. μένοι καὶ χεῖρας καὶ γενειάδας. | Ἐπεὶ οὖν καὶ ἐπὶ τοῦτον ἡ καταδικάζουσα ψῆφος ἔφθασε, πληρωθέντος ἑνδεκαμηνιαίου χρόνου, ἐκβάλλεται τῆς φυλακῆς καὶ εἰς γῆν ῥιφεὶς καὶ τοὺς πόδας δεσμευθείς, ἐπὶ τὴν δημοσίαν σύρεται, λίθοις βαλλόμενος καὶ ξύλοις τυπτόμενος. Ὃς συρόμενος ὑπό τινος Φιλομματίου κόμητος, ἀρέσαι τῷ βασιλεῖ σπουδάζοντος[11], ξύλῳ μεγίστῳ κρούσας αὐτὸν κατὰ τοῦ[12] μήνιγγος εὐθέως ἀνεῖλεν ὡς, ῥαγείσης αὐτῷ τῆς κεφαλῆς ἔξω χεθῆναι τὸν μυελόν — ἐτελεύτησεν[13]. Οἱ δὲ λοιποὶ τῶν δημίων ἔσυρον ἐπὶ τῆς λεωφόρου νεκρὸν τὸ σῶμα καὶ ἐν τοῖς Πελαγίου ἀπέρριψαν· ὁ δὲ Πέτρος ταῖς ἐπενεχθείσαις αὐτῷ πολλαῖς παρὰ τοῦ τυράννου πληγαῖς ἐγκαρτερήσας, πρὸς Κύριον ἐξεδήμησεν. Ὁ δὲ Ἀνδρέας πλείστας καὶ αὐτὸς ὑποστὰς τιμωρίας ἐν τῷ ἀφειδῶς κατὰ τῆς πόλεως σύρεσθαι προστόξει τοῦ τυράννου, τὸ πνεῦμα παρέδωκε[14]. Τελεῖται δὲ ἡ αὐτῶν[15] σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Στεφάνου[16] εἰς τὰ Κώνστα.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τῶν σὺν τῷ ἁγίῳ Στεφάνῳ τῷ νέῳ ὑπὲρ τῶν ἁγίων εἰκόνων μαρτυρησάντων. Πολλοὶ τῶν στρατιωτῶν τῶν τότε ὀρθοδόξων ὄντων ἀποταξάμενοι, τῷ βίῳ γεγόνασι μοναχοί, ὑπὸ τοῦ ἁγίου Στεφάνου πρὸς τοῦτο χειραγωγηθέντες· οὓς ἐπεὶ ἀνέλοι τὸν Στέφανον ὁ παράνομος τιμωρησάμενος βασιλεὺς τοῦ βίου ἐξήνεγκε· καὶ γὰρ ἕνα αὐτῶν Βασίλειον καλούμενον ἐκτυφλώσας, εἶτα προσκύνησιν τῶν ἁγίων εἰκόνων λαλοῦντα ἀκούσας, λακτίσας ἐξήνεγκε τὰ ἔντερα αὐτοῦ· καὶ οὕτως ἐξορισθῆναι προστάξας μετ' ὀδύνης τῶν παρόντων ἀπαχθῆναι πεποίηκεν. Ἄλλον ἔγκλειστον ἐν τῷ Σωσθενείῳ τυγχάνοντα ῥινότμητον ποιήσας, ἐν Χερσῶνι ἐξώρισεν. Ὁ δέ, μέλλων φονευθῆναι, ἔφυγεν εἰς Χαζαρίαν, ἐν ᾗ καὶ ἐπίσκοπος γεγονώς, μετὰ παραδρομὴν χρόνων ἱκανῶν ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησεν. Ἕτερος Στέφανος καλούμενος εἰς Σουγδίαν ἐξορισθεὶς καὶ πολλοὺς ὠφελήσας διὰ τῆς τῶν τρόπων χρηστότητος καὶ τῆς τῶν λόγων λαμπρότητος, τέλει τοῦ βίου ἐχρήσατο. Ὁμοίως καὶ Γρηγόριοι δύο σὺν πολλοῖς ἄλλοις ἐξορισθέντες τὴν ἄνω Ἱερουσαλὴμ τῶν πρωτοτόκων εἰς κατοικίαν παρὰ Χριστοῦ ἐκομίσαντο. Ἀλλὰ καὶ Ἰωάννης ὁ ἀπὸ λεγαταρίων εἰς Δαφνουσίαν ἐξορισθεὶς καὶ τῇ τοῦ βασιλέως κελεύσει δερόμενος κατὰ καιρὸν συχνῶς, τὸν βίον ἀπέλιπεν.

| **3.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Εἰρηνάρχου. Οὗτος[1] ἦν ἐκ πόλεως Σεβαστείας, νέος τῇ ἡλικίᾳ[2], τὴν τάξιν δήμιος[3] ταῖς κατὰ τῶν ἁγίων βασάνοις καθυπουργῶν. Ἐξεταζομένων οὖν γυναικῶν τινων[4] χριστιανῶν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, ἡγεμονεύοντος Μαξίμου ἐν τῇ πόλει τῆς Σεβαστείας[5], φωτίζεται τὴν ψυχὴν ὑπὸ τῆς χάριτος τοῦ Χριστοῦ· οἷς ἔωρα τὰς γυναῖκας παρὰ τὴν φύσιν ἀνδριζομένας[6] καὶ καταισχυνούσας τὸν τύραννον ἐπὶ τοῖς παρ' αὐτῶν ἐνεργουμένοις θαύμασιν[7]· ὅθεν παρρησίᾳ ὁμολογήσας τὸν Χριστὸν καὶ ἑαυτὸν ἀνακηρύξας χριστιανόν[8], πρῶτον μὲν ἐν λίμνῃ τινὶ τοῦ ἡγεμόνος προστάξαντος βάλλεται, ἔπειτα εἰς κάμινον· καὶ ἐκ τούτων παραδόξως διασωθεὶς[9] τὴν κεφαλὴν ἀποτέμνεται. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι ἐν τῇ Ῥάβδῳ.

4. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια[1] τοῦ ἁγίου προφήτου Ἐλισσαίου.

5. Καὶ μνήμη τῶν ἐν εὐσεβεῖ τῇ μνήμῃ[1] γενομένων βασιλέων Κωνσταντίνου[2], Μαρκιανοῦ καὶ τῶν τέκνων αὐτῶν. Τελεῖται[3] ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν τοῖς ἁγίοις Ἀποστόλοις.

6. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοδώρου ἐπισκόπου γενομένου Θεοδοσιουπόλεως Ἀρμενίας, ἐπὶ τῆς βασιλείας Μαυρικίου[1].

f. 93.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ'.

Nov. 29. **1.** Ἄθλησις[1] τοῦ ἁγίου μάρτυρος Φιλουμένου. Οὗτος ὑπῆρχεν ἐπὶ Αὐρηλιανοῦ βασιλέως ἐκ Λυκαονίας ὁρμώμενος καὶ τὸν σῖτον πραγματευόμενος καὶ κομίζων τῇ[2] τῶν Γαλατῶν χώρᾳ. Φήλικι[3] οὖν τῷ ἡγεμόνι Ἀγκύρας διαβληθεὶς καὶ χριστιανὸς εἶναι ὁμολογήσας, ἡλοῦται πρῶτον σιδήροις

— [11] (ὃς συρόμενος - σπουδάζοντος) *om.* Sa. — [12] τῆς Sa. — [13] (ὃς ῥαγείσης - ἐτελεύτησεν) S, *om.* Sa. — [14] (ὁ δὲ Πέτρος - παρέδωκε) *om.* Sa. — [15] αὐτοῦ Sa. — [16] μαρτυρείῳ αὐτοῦ τῷ ὄντι Sa.

3. — [1] ὃς Sa. — [2] τὴν ἡλικίαν Sa. — [3] δήμιος τὴν τάξιν τὸ πρότερον ὢν καὶ Sa. — [4] τινῶν γυναικῶν Sa. — [5] τῇ Σεβαστηνῶν Sa. — [6] ἀνδριζομένας παρὰ τὴν φύσιν Sa. — [7] ταῖς .. ἐνεργουμέναις θαυματουργίαις Sa. — [8] (καὶ ἑαυτὸν - χριστιανόν) *om.* Sa. — [9] (προστάξαντος - διασωθεὶς) προστάξει ἐμβάλλεται εἶτα ἐπί τινα ἀναφθεῖσαν πυρκαιὰν ἐκ τούτων δὲ παραδόξως σωθεὶς Sa.

4. — [1] τοῦ ναοῦ *add.* Sa.

5. — [1] τῇ λήξει Sa. — [2] Κωνσταντίου Sa. — [3] *om.* Sa.

6. — [1] ταῖς αὐτῶν πρεσβείαις *add.* Sa.

1. — [1] τῇ αὐτῇ ἡμέρα ἄθλησις Sa. — [2] ἐν τῇ Sa. — [3] Φίλικη S.

Nov. 28. πίστει καὶ τῇ μοναχικῇ πολιτείᾳ. — **Da** : 3. 2 (des. ἀπέρριψαν). — **Db** : 3. 1. — **F** : 3. 1. — **Fa** : 3. 1. — **B** : 1. 2. 3. — **Ba** : 3 (= S). 1 (= S). — **Bb** : 1. 2. 3. — **T** : 3. 1. — **L** : 3. 1. — **O** : 1. 3. — **Q** : 3. 1. 2. — **C** : deest. — **Ca** : mutil. 1. 2. 3. 6. — **Cb** : 1. 2. — **Cc** : 1. 3. 6. — **M** : 1 (Στεφάνου). — Ἀνδρέας. — Πέτρος. — Ἡ ὁσία Ἄννα τυπτομένη πρὸς τὸ κατειπεῖν τοῦ ἁγίου Στεφάνου τ. — 2. 3. — **Mv** : 1 (Στεφάνου). — Ἀνδρέας. — Πέτρος. — 2. 3. — **Mr** : 1. 3.

Nov. 29. SYNAXARIA SELECTA. **Sa** : Παραμόνου (Nov. 27[2]). — Ἀκακίου (Nov. 27[3]). — 1. 2. 3. 4. 5. — **H** : 1. — Τοῦ ὁσίου Ἰωάννου ἐκ πόλεως Δαμασκοῦ. — 4. 5. — Παραμόνου. — **P** : 1. — Παραμόνου τοῦ ἐν τῷ γέρῳ (Nov. 27[2]). — 4. 5. — **Da** : Παραμόνου[1]. — 1. — **Db** : Παραμόνου[1]. — 1. 2 (Βισαρίων). — **F** : Παραμόνου[2]. — 1. 3. — Θεοδώρου (Nov. 28[6]). — Σίλα (Nov. 26[4]). — 4. — **Fa** : Παραμόνου. —

[1] Παρανόμου Da, Db. — [2] Παρανόμου Fa, Ba.

χεῖρας καὶ πόδας καὶ αἰκίζεται· εἶτα ἀναρτηθεὶς σπαθίζεται καὶ καταχθεὶς εἰς κλίβανον ἐκκαέντα ἐμβάλλεται. Ἐκ τούτων δὲ τῇ τοῦ Χριστοῦ δυνάμει ἀβλαβὴς διαφυλαχθεὶς ἡλοῦται αὖθις τὴν κεφαλὴν καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ ἐπὶ τριάκοντα σταδίοις ἐλαύνεται, ἕως λειποψυχήσας τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Βησαρίωνος τοῦ θαυματουργοῦ.

3. Καὶ Νικολάου ἀρχιεπισκόπου Θεσσαλονίκης. Nov. 29.

4. Καὶ ἄθλησις τῶν ἁγίων ἱερομαρτύρων Ἰωάννου τοῦ ἐν Περσίδι καὶ Οὐρβανοῦ ἐπισκόπου Μακεδονίας καὶ | Διονυσίου ἐπισκόπου Κορίνθου. f. 93v.

5. Καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τῶν ἁγίων Σεργίου καὶ Βάκχου πλησίον τῆς Ἀετίου κινστέρνης.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ'.

1. Ἄθλησις[1] τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Ἀνδρέου ἀδελφοῦ Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων. Οὗτος ἐκήρυξεν εἰς πᾶσαν τὴν παραλίαν Βιθυνίας[2] τε καὶ Πόντου, Θρᾴκης καὶ Σκυθίας, ἔπειτα ἐπορεύθη ἐν Σεβαστουπόλει τῇ μεγάλῃ, ὅπου παρεμβάλλει Ψάρος καὶ Φασὶς ὁ ποταμός[3], οὗ ἐσώτερον οἱ Αἰθίοπες οἰκοῦσιν. Nov. 30. Ἐσταυρώθη δὲ ὑπὸ Αἰγεάτου[4] ἀνθυπάτου καὶ ἐνετέθη[5] ἐν Πάτραις τῆς Ἀχαΐας. Μετετέθη δὲ ὕστερον ἐν Κωνσταντινουπόλει καὶ κατετέθη μετὰ Λουκᾶ τοῦ εὐαγγελιστοῦ καὶ Τιμοθέου[6] ἐν τοῖς ἁγίοις Ἀποστόλοις, ἔνθα καὶ τελεῖται ἡ αὐτοῦ σύναξις[7].

1. — [1] μνήμη Sa. — [2] Βυθινίας Sa. — [3] οἱ ποταμοὶ Sa. — [4] Αἰγαιάτου S, Sa, — [5] ἐντέθη S, ἐτέθη Sa. — [6] τοῦ ἀποστόλου *add.* Sa. — [7] σύναξις αὐτοῦ· ταῖς αὐτοῦ πρεσβείαις ὁ Θεός Sa.

---

2. — Θεοδώρου. — Σίλα. — 4. — **B** : Ἰωάννου τοῦ Δαμασκηνοῦ (Dec. 4). — 1. — **Ba** : Παραμόνου. — Nov. 29.
1. 2. — **Bb** : Ἰωάννου τοῦ Δαμασκηνοῦ. — 1. — **T** : Παραμόνου. — **L** : Ἰωάννου τοῦ Δαμασκηνοῦ. — 1. — **O** : Παραμόνου. — 1. — **Q** : Παραμόνου. — 1. — Μάρκου. Οὗτος ὁ μακάριος τῷ τῆς θείας ἀγάπης ἔρωτι κατασχεθεὶς καταλιμπάνει γυναῖκα καὶ τέκνα καὶ συγγενεῖς καὶ τὴν στενὴν ὁδὸν ἑλόμενος καὶ ὑπελθὼν τὸν ζυγὸν Χριστοῦ τὸν ἐλαφρόν, διήρχετο πόλεις καὶ κώμας καὶ χώρας καὶ αὐτὴν τὴν ἔρημον πᾶσαν, ὑστερούμενος, θλιβόμενος καὶ παντὶ τρόπῳ πραγματευόμενος τὸ μὴ γνωσθῆναι παρά τινος τὸν ἐνάρετον βίον αὐτοῦ, μέχρις ἂν μετὰ πολλῶν χρόνων παρολκὴν, γνωρισθείσης αὐτῷ τῆς ἀναλύσεως ἄνωθεν καὶ τὴν μεγίστην τῶν πόλεων τῆς Αἰγύπτου καταλαβών, ὑπό <τινα> τῶν ἐκεῖσε τιμίων σηκῶν καταλύει· καὶ ἐπὶ τρισὶν ἡμέραις ἀνεπαύσατο ἐν Κυρίῳ. Ἐπεὶ δὲ ἄπνους ὁ ὅσιος ἔκειτο καὶ οἱ ἐνταφιάζοντες ὡς εἰς ξένον καὶ ἄγνωστον παρῆσαν καὶ τὸν περικείμενον αὐτοῦ τῷ σώματι σίδηρον πολὺν ὄντα καὶ ἄπειρον εἶδον, ὡς ἅπαν τὸ σῶμα αὐτοῦ προσηλωμένον ὑπάρχειν, τὸ « Κύριε ἐλέησον » ἐβόων καὶ « ὦ πόσους κρυπτοὺς δούλους ὁ Θεὸς ἔχει » ἐπὶ πολλαῖς ταῖς ὥραις ἀνέκραζον· ὅθεν ἐκ ξύλων ἀσήπτων κατασκευάσαντες θήκην, ἐν αὐτῇ μετὰ τῶν σιδήρων τὸ τίμιον αὐτοῦ λείψανον ἀπέθεντο. — **C** : deest. — **Ca** : Ἰωάννου ἐκ πόλεως Δαμασκοῦ. — 1. — Παραμόνου (Nov. 27[2]). — 4 (om. Διονυσίου). — Καὶ τοῦ ἁγίου μάρτυρος Παραμόνου. — **Cb** : 1. — **Cc** : Ἰωάννου ἐκ πόλεως Δαμασκοῦ. — 1. — Παραμόνου. — 4. — Καὶ τοῦ ἁγίου μάρτυρος Παραμόνου. — **M** : Παραμόνου. — 1. 3 : Νικολάου Διονυσίου). — Καὶ τοῦ ἁγίου μάρτυρος Παραμόνου. — **Cb** : 1. — **Cc** : Ἰωάννου ἐκ πόλεως Δαμασκοῦ. — 1. — Παραμόνου. — 4. — Καὶ τοῦ ἁγίου μάρτυρος Παραμόνου. — **M** : Παραμόνου. — 1. 3 : Νικολάου ἀρχιεπισκόπου Θεσσαλονίκης καὶ τῶν ἁγίων ἓξ μαρτύρων. — 4 (Οὐρβανός, Διονύσιος). — 2. — Παγκόσμιος ἐν εἰρήνῃ τ. — Πιτηροῦν ἐν εἰρήνῃ τ. — Οὐαλλερῖνος ξ. τ. — Φαῖδρος ῥητίνης ζεούσης καταχεθείσης αὐτῷ τ. — **Mv** : Παραμόνου. — 1. 3. 4. 2. — Παγκόσμιος. — Πυτηροῦν. — Οὐαλλεριανός. — Φαῖδρος. — **Mr** : Παραμόνου. — 1.

SYNAXARIA SELECTA. **Sa** : 1. — **H** : 1. — **P** : 1. — **Da** : 1 : Ἀνδρέου τοῦ πρωτοκλήτου. Nov. 30.
Οὗτος ὑπῆρχεν ἐκ πόλεως Βηθσαϊδά[1], υἱὸς Ἰωνᾶ, ὁ ἀδελφὸς δὲ Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων. Καὶ πρότερον μὲν τῷ προφήτῃ προδρόμῳ καὶ βαπτιστῇ Ἰωάννῃ μαθητεύεται, ἔπειτα τό· « Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ » παρὰ τοῦ διδασκάλου ἀκούσας δακτυλοδεικνύντος τὸν Ἰησοῦν, καταλιπὼν αὐτὸν ἠκολούθησε τῷ Χριστῷ καὶ Πέτρον τὸ « εὑρήκαμεν Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ » εἰπὼν ἐπεσπάσατο πρὸς τὸν τοῦ Χριστοῦ ἔρωτα· καὶ ἕτερα ἔστιν εὑρεῖν ἐν τῇ γραφῇ κείμενα περὶ αὐτοῦ. Οὗτος ἐπεὶ τῷ Κυρίῳ ἠκολούθησεν μετὰ τὴν ἀνάληψιν αὐτοῦ, ἄλλῳ μὲν ἀποστόλῳ ἄλλη τις ἐκληρώθη χώρα. Τῷ πρωτοκλήτῳ δὲ Ἀνδρέᾳ ἥ τε Βιθυνῶν καὶ ὁ Εὔξεινος[2] Πόντος καὶ τῆς Προποντίδος τὰ μέρη σὺν Χαλκηδόνι[3] καὶ Βυζαντίῳ καὶ Μακεδονία καὶ Θρᾴκη καὶ τὰ ἕως τοῦ Ἴστρου φθάνοντα, Θεσσαλία τε καὶ Ἑλλὰς καὶ τὰ μέχρις Ἀχαΐας, ἀλλὰ καὶ ἡ Ἀμινσὸς καὶ ἡ Τραπεζοῦς καὶ Ἡράκλεια καὶ Ἄμαστρις. Ταῦτα δὲ οὐχ ὥσπερ ὁ λόγος διέρχεται οὕτω κἀκεῖνος διῆλθεν, ἀλλ' ἐν ἑκάστῃ πολλὰ τὰ ἀντιπίπτοντα ὑποστὰς πολλαῖς τε πραγμάτων δυσχερείαις ὡμιλήκως, εἰ καὶ ῥοπῇ Χριστοῦ καὶ βοηθείᾳ πάντων ἐκράτει. Ἐξ ὧν μιᾶς πόλεως ἐπιμνησθεὶς τὰ λοιπὰ τοῖς εἰδόσιν ἐάσω. Οὗτος τῇ Σινωπέων ἐπιδημήσας καὶ τὸν λόγον καταγγείλας, πολλαῖς θλίψεσι καθυποβάλλεται. Κατὰ γῆς γὰρ αὐτὸν ἐρρίπτουν καὶ χειρῶν καὶ ποδῶν λαβόμενοι εἵλκον καὶ τοῖς ὀδοῦσιν ἐσπάραττον καὶ ξύλοις ἔπαιον καὶ λίθοις ἔβαλλον καὶ μακρὰν τῆς πόλεως ἀπερρίπτουν, ὅτε καὶ τὸν δάκτυλον ὀδοῦσιν ἔκοψαν. Ἀλλ' αὐτὸς παρὰ τοῦ σωτῆρος καὶ διδασκάλου ἄρτιος καὶ ὑγιὴς ἀπὸ τῶν πληγῶν ἐφάνη, ἐκεῖθέν τε ἀναστὰς ἤμειψε πλείστας πόλεις[4], τήν τε Νεοκαισάρειαν, τὰ Σαμόσατα, Ἀλανούς, Ἀβασγούς, Ζηκχούς, Βοσπορηνούς, Χερσωνήτας· εἶτα διαπλεύσας πρὸς τὸ Βυζάντιον καὶ τὸν Στάχυν ἐπίσκοπον χειροτονήσας καὶ τὰς λοιπὰς χώρας διελθὼν πρὸς τὴν περιφανῆ Πελοπόννησον ἔρχεται· καὶ ξενισθεὶς Ιο. 1, 36. Ιο. 1, 46.

[1] Βησθαϊδά Da. — [2] Εὔξεινος Da. — [3] Χαλκιδώνι Da. — [4] πόλλεις Da.

Nov. 30. παρὰ Σωσίῳ χαλεπῶς ἀσθενοῦντι, ἰάσατο αὐτὸν καὶ παραυτίκα πᾶσα ἡ πόλις σχεδὸν ἐκείνη προσῆλθε τῷ Χριστῷ, ὅτε καὶ ἡ τοῦ ἀνθυπάτου γυνὴ Μαξιμίλλα τῶν χαλεπῶν τῆς νόσου λυθεῖσα δεσμῶν καὶ ταχείας τυχοῦσα θεραπείας, ἐπίστευσε· καὶ Στρατοκλῆς ὁ σοφώτατος, ὁ τοῦ ἀνθυπάτου Αἰγεάτου αὐτάδελφος καὶ ἕτεροι πολλοὶ νόσους ἔχοντες ποικίλας καὶ διαφόρους, ὑγιάσθησαν διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τοῦ ἀποστόλου. Διὰ ταῦτα μανίᾳ περιπεσὼν ὁ Αἰγεάτης καὶ σταυρῷ προσηλώσας τὸν ἀπόστολον, αὐτὸς ἀπό τινος μετεώρου κρημνοῦ ἑαυτὸν εἰς γῆν καταβεβληκὼς συνετρίβη. Τοῦ δὲ ἀποστόλου τὸ λείψανον μετὰ πολὺν χρόνον μετετέθη ἐν Κωνσταντινουπόλει καὶ κατετέθη μετὰ Λουκᾶ καὶ Τιμοθέου ἐν τῷ τῶν ἁγίων Ἀποστόλων περιβλέπτῳ τεμένει. — **Db** : 1. — **F** : 1. — **Fa** : 1. — **B** : 1. — **Ba** : 1. — **Bb** : 1. — **T** : 1. — **L** : 1 (= Da). — Sequitur : Τοῦ αὐτοῦ ὅμοιον μεταφρά<σεως> (= S). — **O** : 1. — **Q** : 1. — **C** : deest. — **Ca** : 1. — **Cb** : 1. — **Cc** : 1. — **M** : 1. — Φρουμεντίου, ἀρχιεπισκόπου [5] Ἰνδίας. Ἐν ταῖς ἡμέραις Κωνσταντίνου τοῦ μεγάλου βασιλέως, Τύριός τις φιλόσοφος ἀπῆλθεν ἱστορήσων τὴν ἐσχάτην Ἰνδίαν, λαβὼν δύο νεανίσκους ἀδελφούς. Ἐν δὲ τῷ ὑποστρέφειν αὐτὸν σὺν αὐτοῖς, προσορμήσαντες λιμένι τινὶ διὰ χρείαν ὕδατος, περιέπεσον βαρβάροις [6]. Καὶ τοὺς μὲν τῶν ἐν τῷ πλοίῳ οἱ βάρβαροι πρὸς θάλασσαν κατηκόντισαν, οὓς δὲ κατέσφαξαν, ἐξ ὧν καὶ ὁ Τύριος· φόνου παρανάλωμα γεγονώς, καὶ τοὺς περιλειφθέντας, μεθ' ὧν καὶ οἱ δύο [7] νεανίσκοι, δεσμήσαντες προσήγαγον τῷ βασιλεῖ τῆς Ἰνδίας. Τούτων ὁ μὲν Αἰδέσιος, ὁ δὲ Φρουμέντιος ὠνομάζοντο. Ὁ γοῦν βασιλεὺς τοὺς νεανίσκους εὐφυῶς ἰδὼν [8] ἔχοντας, πρὸς ὃν κατὰ νοῦν εἶχε σκοπὸν τῶν βασιλείων ἐπιμελητὰς καὶ οἰκονόμους προυβάλετο. Εἶθ' ὕστερον τοῦ υἱοῦ τοῦ βασιλέως μετὰ τελευτὴν τοῦ πατρὸς τῆς βασιλείας ἐπιλαβομένου, πλείονος προσέτι [9] καὶ τῆς τιμῆς ἀπολαύοντες, θαρροῦντος [10] καὶ τοὺς [11] ἐκεῖσε τῶν ἐμπόρων ἀφικνουμένων κατὰ τὸ τῶν Ῥωμαίων ἔθος συναθροίζεσθαι καὶ θείας ἐπιτελεῖν λειτουργίας παρεκελεύοντο. Χρόνων δέ τινων διελθόντων, προσίασι τῷ βασιλεῖ [12] καὶ τῆς εὐνοίας ἀπαιτοῦντες μισθὸν τὴν πρὸς τὴν ἐνεγκαμένην ἐξελιπάρουν ἐπάνοδον. Τούτου δὲ τυχόντες, εἰς τὴν Ῥωμαίων ἀφίκοντο γῆν. Καὶ ὁ μὲν Αἰδέσιος τὴν [13] Τύρον κατέλαβε, τοὺς γεννήτορας καὶ τὰ οἰκεῖα ἐπιζητῶν. Φρουμέντιος δὲ τὴν περὶ τὰ θεῖα σπουδὴν τῆς τῶν γεννητόρων προτετίμηκε θέας. Καὶ τὴν Ἀλεξάνδρου καταλαβὼν πόλιν, τῷ τῆς ἐκκλησίας δεδήλωκε προέδρῳ, ὡς Ἰνδοὶ λίαν ποθοῦσι τὸ τῆς εὐσεβείας δέξασθαι φῶς. Πρὸς ὃν καὶ [14] ὁ μακάριος Ἀθανάσιος [15]· « Καὶ τίς σου ἡμῖν, ἔφη, κρείττων [16] τῆς » ἀγνοίας τὴν ἀχλὺν ἀποσκευάσαι τοῦ ἔθνους, καὶ τοῦ θείου κηρύγματος ἀντεπεισάξαι τὴν αἴγλην ; » Ταῦτα [17] εἰπὼν καὶ τῆς ἀρχιερατικῆς αὐτῷ μεταδοὺς χάριτος εἰς τὴν τοῦ ἔθνους ἐξέπεμψε γεωργίαν. Ὁ δὲ καὶ τὴν πατρίδα καταλιπὼν καὶ τοὺς γονεῖς ἀφείς, καὶ τοῦ μεγίστου πελάγους ὑπὲρ τῆς εὐσεβείας καταφρονήσας, κατέλαβε τὸ ἀγεώργητον ἔθνος. Ἐγεώργησε δὲ προθύμως, σύνεργον ἔχων τὴν [18] θεόσδοτον χάριν. Ἀποστολικαῖς γὰρ κεχρημένος διδασκαλίαις καὶ θαυματουργίαις, οὐ μόνον [19] δαιμονῶντας ἐθεράπευσε καὶ πᾶν ὁτιοῦν νόσημα ἀλλὰ καὶ τοῖς ἀντιλέγουσι καὶ μὴ ταχέως τὰ παρ' αὐτοῦ λεγόμενα δεχομένοις, ᾧ μὲν δαίμονα [20] ἐδίδου κατὰ τὸν ἀπόστολον τὸν λέγοντα [21]· « Παράδοτε αὐτὸν τῷ
I. Cor. 5, 5. » Σατανᾷ πρὸς [22] ὄλεθρον τῆς σαρκὸς ἵνα τὸ πνεῦμα σωθῇ· » ὃν δὲ ξηρὸν ἐποίησεν [23]· ἄλλου δὲ τῶν [14] ὀφθαλμῶν [14] τὸ φῶς εἰς ἀβλεψίαν μετέβαλεν. Οἱ δὲ εὐθέως προσπίπτοντες καὶ τῆς ἰάσεως ἀπολαύοντες [24] ἐπίστευον τῷ Χριστῷ. Αἱ καθ' ἑκάστην δὲ γινόμεναι παρ' αὐτοῦ [25] τερατουργίαι [26] μαρτυροῦσι περὶ αὐτοῦ καὶ περὶ τῆς εἰς Χριστὸν πίστεως, ὡς παμπληθεὶ πρὸς θεογνωσίαν ἅπαν τὸ πλῆθος [27] συνήλαυνον [28]. Διὸ καὶ ἐν ὀλίγῳ χρόνῳ μόνος σὺν Θεῷ πᾶσαν τὴν τῶν Ἰνδῶν χώραν βαπτίσας [29], καὶ ναοὺς διαφόρους ἐγείρας καὶ ἱερεῖς ἐξ αὐτῶν χειροτονήσας [30] καὶ εἰδωλεῖα καταστρέψας καὶ τὰ ξόανα [31] συντρίψας, ἅπαν τὸ ἔθνος εἰς θεογνωσίαν μετέβαλεν. Ἐθαύμαζον δὲ ἅπαντες καὶ αὐτὸς ὁ βασιλεὺς λέγοντες· « Χρόνους οὐκ ὀλίγους [32] σὺν ἡμῖν [33] διαβιβάσας [34], οὐδέν τι ἐκ τῶν παρὰ σοῦ θαυμασίων γενο- » μένων [14] ποτὲ ἐποίησας· καὶ νῦν πόθεν σοι, παμφίλτατε, ἡ τοιαύτη χάρις ἐδόθη, δι' ὀλίγου καὶ ταῦτα » καιροῦ ; » Ὁ δὲ μακάριος [35]· « Οὐκ ἐμόν, ἀπεκρίνατο, τὸ δῶρον, τιμιώτατοι τοῦ Χριστοῦ φίλοι, ἀλλὰ » τῆς ἱερωσύνης καὶ αὐτοῦ τοῦ Χριστοῦ. Ἰδὼν γὰρ τὴν ἀγαθὴν ὑμῶν γνώμην, ἐάσας διὰ τοῦτο » πατρίδα καὶ πᾶσαν [14] συγγένειαν κατὰ τὴν τοῦ Κυρίου φωνήν, κατέλαβον τὴν Ἀλεξάνδρειαν· καὶ τὸν » ἀρχηγὸν τῆς ἐκκλησίας τὸν μέγαν Ἀθανάσιον τὰ περὶ ὑμῶν ἀναδιδάξας καὶ χρίσματι ἁγίῳ χρισθεὶς » παρ' αὐτοῦ, καὶ ἀποστολικῷ χαρίσματι λαμπρυνθεὶς τῇ πρὸς Θεὸν αὐτοῦ ἐντεύξει, ἀπεστάλην πρὸς » ὑμᾶς [36] Ὑμῶν δὲ πιστῶς ἐμὲ δεξαμένων, ἡ τῆς ἱερωσύνης χάρις, μᾶλλον δὲ ἡ [14] τοῦ Θεοῦ, ἐνεργεῖ ὡς » ὁρᾶτε δι' ἐμοῦ. » Οὗτος ἐπὶ χρόνοις οὐκ ὀλίγοις συζήσας [37] θεαρέστως [38] αὐτοῖς καὶ τὰς τοῦ Θεοῦ ἐντολὰς ἐκδιδάξας [39] καὶ πρὸς τὴν τούτων [40] ἐργασίαν παραδόξως μεταρυθμίσας, κατὰ τὸ δυνατὸν ἑκάστῳ, ἀφεὶς τὰ κατ' αὐτὸν πρὸς Κύριον ἐξεδήμησεν. Οὗ τὸ τίμιον λείψανον παντοδαπὰς τοῖς προσιοῦσι τὰς ἰάσεις [41] παρέχει, εἰς δόξαν τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. Ἀμήν. — **Mv** : 1 (Μνήμη ... Ἀνδρέου). — Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον Ἀνδρέαν. — Φρουμεντίου. — **Mr** : 1.

— [5] ἐπισκόπου Mv. — [6] βαρβάροις π. Mv. — [7] *om.* Mv. — [8] ἰδ. εὐφ. Mv. — [9] ἔτι Mv. — [10] ἀπολαβόντες θ. M, ἀπολαβόντων θαρροῦντες Mv. — [11] τῶν Mv. — [12] τῷ βασιλεῖ π. Mv. — [13] ταῖς Mv. — [14] *om.* Mv. — [15] οὗτος γὰρ ἦν ὁ τὴν ἐκκλησίαν τότε τῆς Ἀλεξάνδρου καὶ τὸν θρόνον κοσμῶν *add.* Mv, ἔφη *add.* M. — [16] κρείττων ἔφη Mv. — [17] καὶ ταῦτα Mv. — [18] ἔχων σύνεργον καὶ Mv. — [19] τοὺς *add.* Mv. — [20] δαίμονι Mv. — [21] τὸν λέγοντα ἀπόστολον Mv. — [22] εἰς Mv. — [23] ἐποίει Mv. — [24] ἀπολαβόντες M, Mv. — [25] παρ' αὐτοῦ *om.* Mv. — [26] θαυματουργίαι Mv. — [27] ἅπαν τὸ πλῆθος πρὸς θεογνωσίαν Mv. — [28] διήλαυνον Mv. — [29] βαπτίσας χώραν Mv. — [30] καὶ ... χειροτονήσας καὶ ναούς .., ἐγείρας Mv. — [31] πάντα *add.* Mv. — [32] οὐκ ὀλίγους χ. Mv. — [33] ὧν *add.* Mv. — [34] διεβιβάσας M. — [35] ὁ δὲ μακάριος *om.* Mv. — [36] πρὸς ὑμᾶς ἀπεστάλην Mv. — [37] ζήσας Mv. — [38] ἐν *add.* Mv. — [39] διδάξας Mv. — [40] τοῦ Θεοῦ Mv. — [41] τὰς ἰάσεις τοῖς προσιοῦσι Mv.

ΜΗΝ ΔΕΚΕΜΒΡΙΟΣ

ἡμέρας ἔχει λα', ἡ ἡμέρα ἔχει ὥρας θ' καὶ ἡ νὺξ ὥρας ιε'.

ΠΡΩΤΗ.

1. Μνήμη τοῦ ἁγίου προφήτου Ναούμ [1], ὃς λέγεται παράκλησις ἐγὼ πᾶσιν ἢ φρόνημα ἢ ὑπόληψις. Οὗτος ἦν ἀπὸ Ἐλκεσεὶμ [2] πέραν εἰς [3] Βαθαρεὶμ [4] ἐκ φυλῆς Συμεών· ὃς καὶ μετὰ τὸν Ἰωνᾶν τῇ Νινευΐ [5] τέρας ἔδωκεν, ὅτι ὑπὸ ὑδάτων γλυκέων καὶ πυρὸς ὑπογαίου ἀπολεῖται· ὃ καὶ γέγονεν. Ἡ γὰρ περὶ αὐτὴν λίμνη κατέκλυσεν αὐτὴν ἐν συσσεισμῷ καὶ πῦρ ἐκ τῆς ἐρήμου ἐπελθὸν τὸ ὑψηλότερον αὐτῆς μέρος ἐνέπρησεν. Ἀπέθανεν δὲ ἐν εἰρήνῃ καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ. Ἦν δὲ στρογγύλον καὶ σιμὸν ἔχων τὸ γένειον, ἰσχνὸς τὰς παρειάς, οὖλος τὴν τρίχα, μικρὸν ὑποφάλακρος, ἐπιμήκης τὴν κεφαλήν, ὡσεὶ χρόνων με' [6].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀνανίου. Ὃς ἦν ἐκ πόλεως Ἀρβὴλ [1] τῆς Περσίδος, τῷ σχήματι λαϊκός· χριστιανὸς δὲ [2] ὢν καὶ συσχεθεὶς ὑπὸ τοῦ ἄρχοντος, ὡμολόγησε τὸν Χριστόν· καὶ μετὰ πολλὰς βασάνους κείμενος ὡσεὶ νεκρός, ἀνοίξας τοὺς ὀφθαλμοὺς εἶπε· « Ποιήσατε » εὐχὰς πρὸς τὸν Θεόν· ὁρῶ γὰρ κλίμακα φθάνου- » σαν εἰς τὸν οὐρανὸν καὶ πυροειδεῖς ἄνδρας » λέγοντάς μοι· Ἐλθὲ μεθ' ἡμῶν καὶ εἰσαγάγωμέν » σε εἰς πόλιν πλήρη φωτὸς καὶ εὐφροσύνης. » Καὶ οὕτως [3] παρέδωκε τὸ πνεῦμα.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Φιλαρέτου τοῦ ἐλεήμονος. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας
f. 94. Εἰρήνης καὶ Κωνσταντίνου | τοῦ ταύτης υἱοῦ, πόλεως [1] Γάγγρας, χωρίου Ἀμνίας [2] λεγομένου, υἱὸς εὐγενῶν γονέων Γεωργίου καὶ Ἄννης ἀπὸ Πόντου καὶ Γαλατικῆς χώρας ὁρμωμένων, γεηπόνων ὄντων καὶ πολλὴν καὶ αὐτάρκη τὴν ὕπαρξιν ἐχόντων. Ὁ δὲ τίμιος [3] Φιλάρετος τῇ γεωργίᾳ προσκείμενος [4] οὐδὲ τῶν ἄλλων ἀρετῶν ἠμέλει, κατεξαίρετον δὲ τῆς ἐλεημοσύνης καὶ τῆς φιλοξενίας ἐπεμελεῖτο. Ἐπὶ τοσοῦτον γὰρ ἐσκόρπισε τὰ ὑπάρχοντα αὐτοῦ, ὥστε καὶ εἰς παντελῆ πτωχείαν ἀνελάσαι καὶ ὑστερεῖσθαι καὶ τῆς ἀναγκαίας τροφῆς τὴν οἰκίαν αὐτοῦ. Τοῦ δὲ βασιλέως Κωνσταντίνου τὴν αὐτοῦ ἐγγόνην ἁρμοσαμένου [5] Μαρίαν, πολλὰ προσεγένετο αὐτῇ χρήματά τε καὶ κτήματα. Καὶ αὐτὸς δὲ τῇ τοῦ ὑπάτου ἐτιμήθη ἀξίᾳ· ὅμως ὁ μακάριος οὗτος καὶ πάλιν τὰ προσόντα αὐτῷ τοῖς πτωχοῖς παρεῖχε, στενάζων καθ' ἑκάστην καὶ τῆς μελλούσης κρίσεως τὴν ἀνάμνησιν ποιούμενος. Ἐπεὶ δὲ ὁ καιρὸς τῆς ἐξόδου αὐτοῦ ἐγνώσθη [6] αὐτῷ, προσκαλεσάμενος τοὺς παρόντας αὐτῷ συγγενεῖς, τὰ μέλλοντα συμβαίνειν αὐτοῖς πάντα προεῖπεν. Εἶτα κατηχήσας παρεκάλει λέγων· « Τεκνία, τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε, τοὺς » νοσοῦντας ἐπισκέπτεσθε καὶ τοὺς ἐν φυλακῇ, » χηρῶν προΐστασθε καὶ ὀρφανῶν, τοὺς νεκροὺς » ἐνταφιάζετε [7], τῆς ἐκκλησίας μὴ ἀπολιμπάνεσθε [8] » τῶν ἀλλοτρίων μὴ ἐπιθυμεῖτε, μὴ κακολογήσητέ » τινα μηδὲ ἐπιχαρῆτε ἐχθρῷ θλιβομένῳ, ὅμως ὡς » κἀμὲ εἴδετε [9] ποιοῦντα καὶ ὑμεῖς ποιεῖτε· μνείαν » ποιεῖσθε τῶν ἁγίων καὶ τῶν ἀποιχομένων καὶ » ἐμοῦ αὐτοῦ, ἵνα ὁ Θεὸς ὑμᾶς διαφυλάξῃ. » Ταῦτα εἰπὼν ἐν εἰρήνῃ τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρέθετο. Τὸ δὲ σῶμα αὐτοῦ ἔθετο ἐν τῇ μονῇ τῆς Κρίσεως.

Dec. 1.

1. — [1] τοῦ Ἐλκεσαίου *add.* Sa. — [2] Sa, Ἐλκεσειμόν S. — [3] εἰ Sa. — [4] S, Sa, *al.* πέραν τοῦ Ἰσβηγαβαρίν, πέραν τ[illegible] Ἰορδάνου εἰς Βηγαβάρ, Nestle, Vit. prophet., *pp. 26, 27* ; Βηθγαβρη *in codice Syro hexaplari, cf.* Nestle, Zeitschrift des d. Palaestina-Vereins, *t. I, p. 224.* — [5] Νινευεὶ Sa. — [6] μ' καὶ ε' Sa.
2. — [1] Sa, Ἀρβηλὸν S. — [2] *om.* Sa. — [3] οὕτω Sa.
3. — [1] ἐκ πόλεως Sa. — [2] Ἀμνείας Sa. — [3] οὗτος *add.* Sa. — [4] προκείμενος S. — [5] ὁρμασαμένου S, Sa. — [6] διεγνώσθη Sa. — [7] ἐπιλανθάνεσθαι ... ἐπισκέπτεσθαι ... προΐστασθαι ... ἐνταφιάζεται S. — [8] Sa, ἐπιλανθάνεσθε S. — [9] ἴδεται S.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. — **Sb** : deest. — **H** : 1. 2. 4. 5. 6. 7. — **P** : 2. 1. 4 (Ὀνησίμου καὶ Σολομῶνος). — 5. 6. — **Da** : 1. 2 (= Ba). 3 (= Ba). — **Db** : 1. 2. 3. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **B** : 1. 2. — **Ba** : 1. 2 : Ἀνανία. Οὗτος ἦν ἐκ Περσίδος κτλ. (= Cc, sub nomine Μηνᾶ). — 3 : Φιλαρέτου τοῦ ἐλεήμονος. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῆς τῶν Παφλαγόνων χώρας ὁρμώμενος... Des. ὡς ἐμὲ εἴδετε ποιοῦντα οὕτως καὶ ὑμεῖς ποιεῖτε. Ταῦτα εἰπὼν καὶ ἐπευξάμενος ἐν εἰρήνῃ ἀνεπαύσατο. — **Bb** : 1. 2. — **T** : 1. — **L** : 1. — **Q** : 1. 2. — **C** : deest. — **Ca** : 1. — Τοῦ ἁγίου μάρτυρος Μηνᾶ. — 4. — **Cb** : 1. 2. — **Cc** : 1. — Μηνᾶ. Οὗτος ἦν ἐκ πόλεως Ἀρβὴλ τῆς Περσίδος· διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν καὶ ὁμολογίαν συσχεθεὶς καὶ πολλὰς ὑποστὰς βασάνους, ἐν τῷ μέλλειν ἐξ αὐτοῦ παρατίθεσθαι τὸ πνεῦμα, εἶπεν ὁρᾶν κλίμακα [1] φθάνουσαν εἰς τὸν

Dec. 1.

[1] κλίμακαν Cc.